


῾ΙΩΑΝΝΟΥ Β. ΤΈΛΦΥ

ΣΥΓΓΡΑΜΜΑΤΙΑ ῾ΕΛΛΗΝΙΚΑ.

JOANNIS B. TÉLFY

OPVSCVLA GRAECA.



ΣΥΓΓΡΑΜΜΑΤΙΑ ἙΛΛΗΝΙΚΑ.

ἋΑ ΠΡΟΤΕΡΟΝ ΜΕΝ ΕΝ ἙΛΛΗΝΙΚΑΙΣ ΕΦΗΜΕΡΙΣΙ ΣΥΝΕΓΡΑΨΕ,

ΝΥΝ ΔΕ

ἈΓΟΜΕΝΗΣ

ΤΗΣ ἙΚΑΤΟΝΤΑΕΤΟΥΣ ΤΟΥ ἈΝΑΚΑΙΝΙΣΘΕΝΤΟΣ

ΟΥΓΓΡΙΚΟΥ ΒΑΣΙΛΙΚΟΥ ΠΑΝΕΠΙΣΤΗΜΙΟΥ
ἙΟΡΤΗΣ

ΣΥΛΛΕΧΘΕΝΤΑ ΕΞΕΔΩΚΕΝ

ἸΩΑΝΝΗΣ Β. ΤΈΛΦΥ,

Διδάκτωρ τῆς φιλοσοφίας, πρώην δικηγόρος, τακτικὸς τῆς κλασικῆς φιλολογίας ἐν τῷ Βουδαπεσταίῳ πανεπιστημίῳ καθηγητής, τοῖς σχολαστικοῖς ἔτεσι 18⁷⁰/₇₁—18⁷⁴/₇₅ πρόεδρος καὶ κοσμήτωρ τῆς φιλοσοφικῆς σχολῆς, μέλος τῆς ἐν Ἀθήναις ἀρχαιολογικῆς ἑταιρίας, τοῦ ἐκεῖ πρὸς διάδοσιν τῶν ἑλληνικῶν γραμμάτων συλλόγου, καὶ τοῦ φιλολογικοῦ συλλόγου Βύρων, τῆς πρὸς ἐνθάῤῥυνσιν τῶν Ἑλληνικῶν ἐν Γαλλίᾳ μελετῶν ἑταιρίας, τῆς τε Οὐγγρικῆς καὶ ἐν Παταυΐῳ Ἀκαδημίας, κ. τ. λ.

Βουδαπέστῃσι.

Τύποις τοῦ Οὐγγρικοῦ βασιλικοῦ πανεπιστημίου.

—

1880.



OPVSCVLA GRAECA.

QVAE PRIMVM IN GRAECORVM EPHEMERIDIBVS SCRIPSIT,

NVNC AVTEM

SOLLEMNITER CELEBRATO SECVLARI RESTAVRATAE

REGIAE SCIENTIARVM VNIVERSITATIS VNGARICAE

F E S T O

COLLECTA EDIDIT

Iván

JOANNES B. TÉLFY,

Philosophiae doctor, antea causarum advocatus, philologiae classicae in Vniversitate Budapestinensi professor publicus ordinarius, annis scholasticis MDCCC$\frac{\text{LXX}}{\text{LXXI}}$—MDCCC$\frac{\text{LXXIV}}{\text{LXXV}}$ ordinis philosophorum praeses et decanus, Societatis archaeologicae Athenarum, Collegii Atheniensis propagandarum literarum Graecarum, philologici ibidem Conventus, cui nomen Byron, Societatis promovendorum in Gallia studiorum Graecorum, Academiae Vngaricae et Patavinae collega, etc.

Budapestini.

Typis regiae scientiarum Vniversitatis Vngaricae.

—

MDCCCLXXX.

ΠΡΟΟΙΜΙΟΝ.

Ἀφανισθέντων τῷ ἔτει 1526, μετὰ τὴν δυσδαίμονα κατὰ τῶν Τούρκων ἐν Μοχατσίῳ μάχην, τῶν πανεπιστημίων τῆς Βούδας, τοῦ Ποσωνίου καὶ τῶν Πεντεβασιλικῶν, ἑκατὸν ἐννέα ἐνιαυτοῖς ὕστερον ὁ καρδινάλις Πέτρος Παζμάνιος νέον ἵδρυσε τῷ ἔτει 1635 ἐν Τυρναβίᾳ ἐκ τῆς θεολογικῆς καὶ φιλοσοφικῆς σχολῆς συνιστάμενον πανεπιστήμιον.

Τούτῳ προσετέθη τῷ ἔτει 1667 ἐκ τῆς τῶν ἀρχιεπισκόπων Ἐμερίκου Λῶσυ καὶ Γεωργίου Λίππαϊ κληρονομίας ἡ νομικὴ σχολή.

Τὴν δὲ ἰατρικὴν σχολὴν ἵδρυσε τῷ ἔτει 1770 ἡ ἀειμνήστου κλέους βασίλισσα Μαρία Θηρεσία.

Ἡ αὐτὴ μετοικίσασα τῷ ἔτει 1777 τὸ πανεπιστήμιον ἐκ Τυρναβίας εἰς Βούδαν, ἐδώρησεν αὐτὸ πολλοῖς τῶν ἀναιρεθέντων Ἰησουϊτῶν κτήμασι, καὶ τελειωθείσης τῷ ἔτει 1780 τῆς διοργανώσεως αὐτοῦ, τὴν 25ην Ἰουνίου, ἥτις τότε ἡ τεσσαρακοστὴ τῆς στέψεως αὐτῆς ἐπέτειος ἦν ἡμέρα, προσέταξε κατ' ἐνιαυτὸν τοῦ πανεπιστημίου ἑορτάσιμον ἄγειν.

Τελευταῖον δὲ Ἰωσὴφ Β' τῷ ἔτει 1784 ἐκ Βούδας εἰς Πέστην μετῴκισε τὸ πανεπιστήμιον.

Ἐξ οὗ δὲ ταύταις ταῖς διὰ νόμου εἰς πρωτεύουσαν τοῦ βασιλείου ἡνωμέναις πόλεσι Βουδαπέστη ἐστὶν ὄνομα, Βουδαπεσταῖον καλεῖται καὶ τὸ πανεπιστήμιον.

Δι' ἐνενήκοντα ἓξ ἐτῶν ἑώρταζε τὸ πανεπιστήμιον τὴν 25ην Ἰουνίου ὡς ἐνιαύσιον τῆς ἀνακαινήσεως αὐτοῦ ἡμέραν. Ἀλλ' ἐπειδὴ αἱ τῶν μαθημάτων παύσεις ἀπὸ τεσσάρων ἤδη ἐτῶν ἀντὶ τῆς πρώτης τοῦ Ἰουλίου ἄνευ ἀρκοῦντος λόγου τῇ 15ῃ Ἰουνίου ἀρχὴν λαμβάνουσι, διὰ τοῦτο ἥ τε ἐπέτειος καὶ ἡ ἑκατονταετὴς τοῦ πανεπιστημίου ἑορτὴ μετετάχθη παρὰ πᾶσαν τῆς ἱστορίας ἀκρίβειαν εἰς τὴν 13ην Μαΐου, τὴν γενέθλιον τῆς Μαρίας Θηρεσίας ἡμέραν.

PRAEFATIO.

Deletis anno MDXXVI post infortunatam cum Turcis ad Mohácsium pugnam Budae, Posonii et Quinqueecclesiis Vniversitatibus, centum et novem annis post Petrus Pázmán Cardinalis novam condidit anno MDXXXV Tyrnaviae Vniversitatem, ordine theologorum et philosophorum ornatam.

Huic accessit e legatis archiepiscoporum Emerici Lósy et Georgii Lippay anno MDCLXVII iurisconsultorum ordo.

Medicorum autem ordinem divae memoriae regina Maria Theresia anno MDCCLXX condidit.

Eadem translatae anno MDCCLXXVII Tyrnavia Budam Vniversitati multas abolitorum Jesuitarum possessiones donavit, de integroque ordinata anno MDCCLXXX Vniversitatis constitutione, XXV$^{\text{um}}$ mensis Junii, utpote quo die annis quadraginta ante regium acceperat diadema, singulo anno Vniversitatis festum ac sollemnem esse voluit.

Postremo Josephus II. anno MDCCLXXXIV Vniversitatem Buda Pestinum transtulit.

Ex quo autem urbibus his lege in caput regni coniunctis Budapestinum est nomen, ipsa quoque Vniversitas Budapestinensis vocatur.

Per nonaginta et sex annos XXV^{us} mensis Junii restauratae Vniversitatis anniversarius celebrabatur. Sed quum scholarum feriae quatuor iam abhinc annos in locum primi diei mensis Julii, haud satis plena ratione, XV^{o} Junii incipiant, tam anniversaria, quam secularia Vniversitatis sollemnia contra omnem rerum gestarum fidem in XIII^{um} mensis Maii, natalem Mariae Theresiae diem, transferre placuit.

ΠΕΡΙΕΧΟΜΕΝΑ.

Παράρτημα.

SVMMARIVM.

Appendix.

I.

Πρόσκλησις.

Ἐκ τοῦ Οὐγγρικοῦ τοῦ Μιχαὴλ Vörösmarty.

(*Πανδώρα, σύγγραμμα περιοδικόν. Τόμ. ια'. Ἀθήνησι 1861. Σελ. 614.*)*)

Carmen hoc more Graecorum recentiorum neglecta syllabarum quantitate secundum accentum et iotacismum est legendum.

Α'.

Ἀτρόμως πίστιν 'ς τὴν πατρίδ'
ὦ Οὖγγρε! τήρησε·
αὕτ' ἡ κοιτίς τε καὶ ταφή,
ἣ τρέφει, θάπτει σε.

*) *Τῷ ἐλλογιμωτάτῳ κυρίῳ Ν. Δραγούμη, συντάκτη τῆς Πανδώρας.*

Ἐκ Πέστας τῇ 20. Φεβρ. (4. Μαρτ.) 1861.

Ἐλλογιμώτατε καὶ εὐγενέστατε Κύριε!

Ἡ πατριωτικὴ ᾠδὴ τοῦ Οὐγγρικοῦ ποιητοῦ Vörösmarty (ὀνομαζομένη Szózat), ἣν ἐν ἑκάστῳ τῶν πολιτικῶν ἑορτασμῶν οἱ Οὖγγροι τραγουδοῦσιν, εἰς δέκα ἤδη γλώσσας μεταφρασθεῖσα, ἐνεψύχωσέ με ἵνα μεταφράσω αὐτὴν καὶ εἰς τὴν ὡραιοτάτην τῶν ἐνδόξων νῦν Ἑλλήνων γλῶσσαν ἐν τῷ τοῦ πρωτοτύπου μέτρῳ, τουτέστιν ἰαμβείῳ, ἤτοι κατὰ Χριστοπούλου Στιχουργικὴν ἐν στίχοις ὀξυτόνοις καὶ προπαροξυτόνοις, ὧν κάθε πρῶτος μέν ἐστιν ὀκτασύλλαβος, κάθε δεύτερος δὲ ἑξασύλλαβος, ὃς ἐν ἑκάστῃ στροφῇ μετὰ τοῦ ἄλλου ἑξασυλλάβου ὁμοιοκαταληκτεῖ.

Πρὸς ἀκριβεστέραν ἐπίκρισιν ἐγχειρίζω ὑμῖν καὶ τὴν ἐν πεζῷ λόγῳ μετάφρασίν της.

Δὲν ἀγνοῶ μὲν ὅτι οἱ σημερινοὶ Ἕλληνες ἀξιοθαύμαστα ἔχουσι παντὸς εἴδους ποιήματα, ὧν καὶ ἔνια μετέφρασα διὰ τοὺς συμπατριώτας

Ἐκτός της τὸ παγκόσμιον
σοὶ τόπον δὲν μετρεῖ·
ἂν εὐτυχῇς, ἂν μή, ἐδῶ
'πέθάνειν ζῆν τε χρή.

Αὔτ' ἐστ' ἡ γῆ, ποῦ τόσοι σου
πατέρες ἔπεσαν,
πρὸς ἣν καὶ δέκ' αἰῶνες πᾶν
τὸ κλέος ἔδεσαν.

Ἐδῶ πολέμουν τοῦ δεινοῦ
Ἀρπάδου οἱ στρατοί,
Ἐδῶ συνέτριψε ζυγὸν
Οὐνιάδου τὸ σπαθί.

Ἐδῶ, ἐλευθερία! σὰς
σημαίας 'βάστασαν,
κ' οἱ ἄριστοί μας ἐν μακρᾷ
τῇ μάχῃ 'χάθησαν.

μου, ἀλλὰ πιστεύω ἅμα, ὅτι τὰ τῶν ἐλευθέρων ἐθνῶν αἰσθήματα ἀλλεπαλλήλου εἰσὶν ἄξια προσοχῆς.

Ὅθεν παρακαλῶ τὴν ὑμετέραν εὐγένειαν, καταχωρίσατε εἰς τὴν πολύτιμον Πανδώραν τὴν μετρικήν μου μετάφρασιν, ἂν δὲν πταίῃ πρὸς τὴν ἰδιότητα τῆς Στιχουργικῆς.

Τέλος δὲ πάντα τὰ ὄλβια εὐχόμενος ὑμῖν, διατελῶ μετὰ βαθυτάτου σεβασμοῦ

Εὐπειθέστατος θεράπων

Ἰωάννης Τέλφυ

Καθηγητὴς τῆς κλασικῆς φιλολογίας ἐν τῷ πανεπιστημίῳ τῆς Πέστας.

Σημείωσις Πανδώρας.

Τόσῳ μᾶλλον προθύμως δημοσιεύομεν τὴν ἀνωτέρω μετάφρασιν, ὅσῳ ἀποδεικνύει ὅτι οἱ ἐν τῇ Δύσει σοφοὶ καταγίνονται καὶ εἰς τῆς καθ' ἡμᾶς Ἑλληνικῆς τὴν μελέτην. Καὶ παρ' ἄλλων δὲ ξένων ἐπισήμων ἐλάβομεν ἐπιστολὰς ἑλληνιστὶ γεγραμμένας.

Κατὰ τὸν καθηγητὴν Κ. Τέλφυ τὸ Οὐγγρικὸν ἐκεῖνο ᾆσμα μετεφράσθη εἰς πολλὰς γλώσσας. Καὶ μετεφράσθη δικαίως, διότι σπανίως ἡρμηνεύθησαν διὰ στίχων αἰσθήματα πατριωτικὰ μετὰ τοσαύτης θερμότητος. Εἰς τὰς ὑπὲρ ἐλευθερίας εὐχὰς τῶν Οὔγγρων συνενοῖ καὶ ἡ Ἑλλὰς τὰς ἰδίας αὐτῆς, ἐνθυμουμένη μάλιστα μετ' εὐγνωμοσύνης τὸν ἔνδοξον μὲν ἀλλ' ἀτυχῆ ἥρωα τῆς Βάρνης καὶ τὸν ἀδάμαστον ἥρωα τῆς Κοσσοβίας.

Μετὰ δὲ τόσας συμφορὰς,
τοσαύτας ἔριδας,
'μικρύνθη μέν, οὐ 'τρίφθη δέ,
καὶ ζῇ τὸ ἔθνος μας.

Κ' ἐθνῶν πατρὶς, ὦ κόσμε! σὲ
ἀνδρείως προσφωνεῖ·
„τὸ δέκ' αἰώνων πάθημα
ζωὴν ἢ Κῆρ αἰτεῖ!"

Ἀδύνατον, ὡς πάμπολλοι
ματαίως 'σφάχθησαν,
ὑπὲρ πατρίδος τόσαι τε
καρδίαι 'σχίσθησαν.

Ἀδύνατον, ὡς θέλησις
ἁγία, νοῦς, ἰσχὺς
ματαίως ἐκμαραίνονται
κατάρας ἐκ δεινῆς.

Θὰ ἔλθῃ ἤτι, νὰ 'λθῃ δεῖ,
βελτίων χρόνος, ὃν
ποθεῖ σπουδαία προσευχὴ
μυρίων ἐκ χειλῶν.

Ἂν πρέπῃ δέ, θὰ ἔλθῃ καὶ
μεγάλη ἡ φθορά·
κ' ἐκεῖ τὸ Κράτος 'σ τὴν ταφὴν
τὸ αἷμά του ὁρᾷ.

Τὸν τάφον τοῦ θανόντος δὲ
κυκλοῦσιν οἱ λαοί,
καὶ πένθους χύνουν δάκρυα
μυρίων ὀφθαλμοί.

Ἀτρόμως πίστιν 'ς τὴν πατρίδ'
ὦ Οὖγγρε! τήρησε·
ἡ τρέφει μέν, θανόντα δὲ
μὲ γῆν καλύπτει σε.

Ἐκτός της τὸ παγκόσμιον
σοὶ τόπον δὲν μετρεῖ·
ἄν εὐτυχῇς, ἄν μὴ, ἐδῶ
νὰ ζῇς, ’πεθάνῃς, χρή.

Β'.

Πρόσκλησις.

Ἐν πεζῷ λόγῳ.

1. *Εἰς τὴν πατρίδα σου ἀκλονήτως ἔσο πιστὸς, ὦ Οὗγγρε! Αὕτη ἐστὶ τὸ λίκνον καί ποτε ὁ τάφος σου, ἥ σε τρέφει καὶ καλύπτει.*

2. *Ἐκτὸς ταύτης οὐκ ἔστι διά σε τόπος ἐν τῷ μεγάλῳ κόσμῳ. Εἴτε σ' εὐλογεῖ εἴτε σε κτυπᾷ ἡ τύχη, ἐνταῦθα πρέπει νὰ ζήσῃς, νὰ ἀποθάνῃς.*

3. *Αὕτη ἐστὶν ἡ γῆ, ὅπου τὸ αἷμα τῶν πατέρων σου τοσάκις ἐχύθη· αὕτη, πρὸς ἣν ὅλα τὰ ἱερὰ ὀνόματα μία χιλιετία ἔδεσεν.*

4. *Ἐνταῦθα ἐμαχέσαντο ὑπὲρ τῆς πατρίδος τὰ τοῦ ἥρωος Ἀρπάδου στρατεύματα. Ἐνταῦθα συνέτριψαν τὸν τῆς δουλείας ζυγὸν οἱ βραχίονες τοῦ Οὐνιάδου.*

5. *Ἐλευθερία! Ἐνταῦθα ἐβάστασαν τὰς αἱματηράς σου σημαίας καὶ ἔπεσαν ἐν τῇ μακρᾷ μάχῃ οἱ ἄριστοι τῶν ἡμετέρων.*

6. *Καὶ μετὰ τοσαύτας δυστυχίας, μετὰ τοσαύτας διχονοίας ὀλιγοστευόμενον μὲν, ἀλλ' ὄχι συντριβόμενον ζῇ τὸ ἔθνος ἐν τῇ πατρίδι.*

7. *Καὶ ἐθνῶν πατρὶς, μεγάλε κόσμε! Σὲ προσφωνεῖ ἀνδρείως· „ἡ τῆς χιλιετίας κακοπάθεια ζωὴν ἢ θάνατον αἰτεῖ.“*

8. *Οὐκ ἔστι δυνατόν, ὅτι τοσαῦται καρδίαι ματαίως ἐξέχεον τὸ αἷμα, καὶ ὅτι τοσαῦτα πιστὰ στήθη ὑπὲρ τῆς πατρίδος θλιβόμενα ἐσχίσθησαν.*

9. *Οὐκ ἔστι δυνατὸν, ὥστε ματαίως ἐκμαραίνονται νοῦς, ἰσχὺς καὶ ἁγία θέλησις ὑπὸ βαρείας κατάρας.*

10. *Πρέπει νὰ ἔλθῃ ἔτι καὶ θέλει ἔλθει καλήτερος καιρός, τὸν ὁποῖον ποθεῖ ἡ ἔνθερμος προσευχὴ ἐν τοῖς χείλεσι τόσων μυριάδων ἀνθρώπων.*

11. *Ἤ θέλει ἔλθει, ἐὰν πρέπει νὰ ἔλθῃ ἡ μεγάλη καταστροφή, ὅπου πρὸς ἐνταφιασμὸν ἵσταται ἐν τῷ αἵματί του ἓν βασίλειον.*

12. *Καὶ τὸν τάφον, ὅπου ἓν ἔθνος χαλᾶται, περικυκλοῦσιν οἱ λαοί, καὶ ἐν τοῖς τῶν ἑκατομμυρίων ὀφθαλμοῖς πένθιμον κάθηται δάκρυον.*

13. *Πιστὸς ἔσο ἀκλονήτως εἰς τὴν πατρίδα σου, ὦ Οὖγγρε! Αὕτη σε τρέφει, καὶ ὅταν ἀποθάνῃς, αὕτη σε καλύπτει.*

14. *Ἐκτὸς ταύτης οὐκ ἔστι διά σε τόπος ἐν τῷ μεγάλῳ κόσμῳ. Εἴτε σ' εὐλογεῖ, εἴτε σὲ κτυπᾷ ἡ τύχη, ἐνταῦθα πρέπει νὰ ζήσῃς, νὰ ἀποθάνῃς.*

II.

Πρὸς τὴν τῶν ἑλληνικῶν στίχων ἱστορίαν.*)

(Πανδώρα. Τόμος δέκατος τρίτος. Σελ. 169., 193., 217., 249. Ἀθήνησιν 1863.)

Α'.

Προφορὰ τοῦ πεζοῦ λόγου.

Οἱ παλαιοὶ Ἕλληνες δὲν ἐξεφώνουν ἐν τῇ καθημερινῇ των συναναστροφῇ τὰς λέξεις κατὰ τὴν ποιητικὴν ποσότητα, ἀλλὰ κατὰ τὸν τόνον τῶν συλλαβῶν.

Τὰ σχόλια εἰς τὸ τοῦ Ἡφαιστίωνος ἐγχειρίδιον περὶ μέτρων καὶ ποιημάτων λέγουσι τὰ ἑξῆς· „δεύτερος τρόπος τῶν τὴν βραχεῖαν εἰς μακρὰν ἀναφερόντων, ὁ διὰ τῆς ὀξείας. Αὕτη οὖν ἡ ὀξεῖα ἐπικειμένη τινὶ τῶν βραχέων μηκύνει· ὡς ἐπὶ τοῦ Ἰλιάδ. μ. 208:

Τρῶες δ' ἐῤῥίγησαν ἐπεὶ ἴδον αἰόλον ὄφιν.

*) Ἡ πραγματεία αὕτη συνεγράφη Ἑλληνιστὶ καὶ ἐστάλη ὑπὸ τοῦ ἐν Πέστῃ οὔγγρου καθηγητοῦ Κυρίου Ἰω. Τέλφυ βαθέως ἐγκύψαντος εἰς τὴν ἡμετέραν γλῶσσαν, ὡς ἐκ ταύτης καταφαίνεται καὶ εὐχερῶς χρωμένου αὐτῇ. Καταχωρίζομεν δὲ τὴν διατριβὴν ἀπαράλλακτον. Σ. Π. — Ἰδοὺ καὶ ἡ συνοδεύουσα τὴν πραγματείαν ἐπιστολή. „Πεστῇσι τῇ $\frac{1}{13}$ Ἰουνίου 1862. Ἐλλογιμώτατε καὶ εὐγενέστατε Κύριε! Ἐν τῷ 282. φυλλαδίῳ τῆς πολυτίμου Πανδώρας ἐξεφράσατε τὴν λύπην, ὅτι δὲν ἐννοεῖτε τὴν γλῶσσαν, ἐν ᾗ ἐγράφη ἡ πεμφθεῖσα ὑμῖν πραγματεία μου περὶ τῶν τονικῶν καὶ ὁμοιοκαταληκτούντων στίχων τῆς Ἑλληνικῆς ἀρχαιότητος. — Τοῦτο παρεκίνησέ με, νὰ συγγράψω καὶ ἑλληνιστὶ ταύτην τὴν πραγματείαν, ἥτις ὅμως περισσότερα περιέχει ἐκ τῶν ἀρχαίων ποιητῶν τεκμήρια ἢ τὸ οὐγγρικόν μου πρωτότυπον, τοῦ ὁποίου ἤδη ἡ δευτέρα ἐτυπώθη ἔκδοσις.

„Ἰδοὺ ὁ τελευταῖος τοῦς πυῤῥίχιος (⏑⏑) μὲν ὑπάρχει· ἐπειδὴ δὲ τὴν ὀξεῖαν ἔχει ἐπικειμένην ἐπὶ τοῦ ο, ἀντὶ τροχαίου (–⏑) παρείληπται, τῆς ὀξείας μηκυνούσης τὸ ο . . . . Ἡ οὖν ὀξεῖα τοιαύτην ἔχει φύσιν καὶ δύναμιν, ὡς ἐπικειμένη ἐπάνω βραχείας, μηκύνειν αὐτήν.“ (Σελ. 159. ἔκδ. Γαΐσφορδ, Λιψία. 1832.)

Ἐντεῦθεν συμπεραίνω ὅτι οἱ ποιηταὶ τὰς βραχείας, τὰς ἐχούσας τὴν ὀξεῖαν, μόνον διὰ τοῦτο μετεχειρίζοντο ἀντὶ μακρῶν, διότι τοιαῦται συλλαβαὶ ἐξετείνοντο ἐν τῇ καθημερινῇ ὁμιλίᾳ.

Τὰ τοῦ Ὁμήρου δεικνύουσι καὶ ἀνάπαλιν, ὅτι τὰ τελευταῖα μακρὰ φωνήεντα ἐν τῇ θέσει τοῦ στίχου, ἀρχομένης τῆς ἀκολουθούσης λέξεως ἀπὸ φωνήεντος (λοιπὸν ἐν τῇ οὕτω καλουμένῃ χασμῳδίᾳ) ἐλαμβάνοντο ἀντὶ βραχέων· π. χ.

Ἰλ. α, 57. „Οἱ δ' ἐπεὶ οὖν ἤγερθεν . . . .
„ „ 61. „εἰ δὴ ὁμοῦ πόλεμός τε δαμᾷ . . . .
„ „ 160. „. . . . οὔτι μετατρέπῃ, οὐδ' ἀλεγίζεις.
„ β, 38. „νήπιος, οὐδὲ τὰ ᾔδη, ἅ ῥα Ζεύς . . . .
„ „ 307. „Καλῃ ὑπὸ πλατανίστῳ, ὅθεν
„ γ, 148. „. . . . . πεπνυμένω ἄμφω
„ „ 233. „οἴκῳ ἐν ἡμετέρῳ
„ ε, 338. „ἀμβροσίου διὰ πέπλου, ὅν οἱ . . . .
„ „ 686. „ἐν πόλει ὑμετέρῃ· ἐπεὶ οὐκ.

Ὅπου τὸ μακρὸν η καὶ ω καὶ ου καὶ ει τῆς ληγούσης, βραχύνεται.

Ἐκτὸς τούτου τὰ τοῦ Ὁμήρου ἔπη μεταβάλλουσι πολλάκις καὶ τὸ ω τῆς ὑποτακτικῆς εἰς ο. π. χ. ἀντὶ τοῦ ἴωμεν, ἐγείρωμεν ἔχουσιν ἴομεν, ἐγείρομεν.

Ἐπειδὴ λοιπὸν οἱ ποιηταὶ καὶ οἱ ἀπαγγέλλοντες τὰ ποιήματά των οὕτω ῥαδίως ἐβράχυναν τὰς μακράς, χωρὶς νὰ σκανδαλισθῶσι τὰ ὦτα τῶν ἀκροατῶν, καταλαμβάνεται αὐτόθεν, ὅτι αἱ κατὰ τὴν ποιητικὴν ποσότητα μακραὶ συλλαβαὶ δὲν ἐξετείνοντο ἐν τῇ καθημερινῇ τοῦ πλήθους γλώσσῃ, καὶ ὅτι οἱ πολλοὶ δὲν ἔκαμναν προφορικὴν διαφορὰν μεταξὺ τῶν κατὰ τὴν ποιητικὴν ποσότητα μακρῶν καὶ βραχέων φωνηέντων.

Τοῦτο ἀποδεικνύουσι καὶ τὰ προλεγόμενα τοῦ Λογγίνου εἰς τὸ τοῦ Ἡφαιστίωνος ἐγχειρίδιον (σελ. 147.), ὅπου ἀναγινώσκομεν τὰ ἑξῆς· „Πολλὰ τῶν μέτρων συμβέβηκεν ἀποκρύπτεσθαι σιωπώμενα ἐν τῇ κατὰ πεζὸν ῥήσει. Εὕροι γοῦν ἄν τις παρὰ Δημο-

σθένει τῷ ῥήτορι στίχον ἡρωϊκὸν κεκρυμμένον, ὃς ἠδυνήθη λαθεῖν, διὰ τὸ πεζὴν οὖσαν τὴν προφοράν . . . φησὶ γοῦν·

Τὸν γὰρ ἐν Ἀμφίσσῃ πόλεμον, δι' ὃν εἰς Ἐλάτειαν
Ἦλθε Φίλιππος· (περι τοῦ στεφάνου 275.)

Ἐξ ὅλων τούτων ἀναμφιβόλως ἀκολουθεῖ, ὅτι οἱ ἀρχαῖοι Ἕλληνες ὡμίλουν κατὰ τὸν τόνον, καὶ οὐδαμῶς κατὰ τὴν ποιητικὴν ποσότητα.

Β'.

Στίχοι τονικοί.

Ποῖα ὑπῆρξε λοιπὸν ἡ προφορά των ὡς πρὸς τοὺς στίχους; Πρέπει νὰ διακρίνωμεν μεταξὺ τῆς τεχνικῆς καὶ τῆς δημοτικῆς ποιήσεως. Ἡ τεχνικὴ ποίησις ἐθεμελιώθη εἰς τὰς κατὰ τὴν ποσότητα μακρὰς καὶ βραχείας συλλαβὰς, καθὼς τὸ μαρτυρεῖ ἡ τῆς ποιήσεως ἱστορία, ἡ παραδίδουσα ἡμῖν τοὺς ἐφευρετὰς τοῦ ἑκάστου εἴδους τῶν ποιητικῶν κατὰ τὴν ποσότητα μέτρων. Οὕτω λ. χ. ὁ Παυσανίας (Φωκικὰ ε', 7.) ἀποδίδει τὴν τοῦ ἑξαμέτρου ἐφεύρεσιν τῇ Φημονόῃ ἢ τῷ Ὠλῆνι. Περὶ τοῦ πενταμέτρου ὡς τεχνικοῦ εὑρήματος λέγει ὁ Τερεντιανὸς (στ. 1721.)

Pentametrum dubitant, quis primus finxerit auctor,
Quidam non dubitant dicere Callinoum.

Τοῦ ἰαμβείου ὁ ἐφευρετὴς ἢ τοὐλάχιστον ὁ πρῶτος συγγραφεὺς λέγεται ὁ Ἀρχίλοχος κατὰ τὸ τοῦ Ὁρατίου (Ἐπιστ. β'. 3, 80.)

Archilochum proprio rabies armavit iambo.

Καὶ οὕτω παντὸς εἴδους στίχοι εἶχον τοὺς ἐφευρετάς των, ὅ τι ἀρκετῶς ἀποδεικνύει τὴν κατὰ τὰς ποσότητας μετρικὴν ποίησιν εὕρημα τῆς τέχνης γενέσθαι.

Ἐπειδὴ ὅμως ὁ δῆμος δὲν ὡμίλει κατὰ τὴν ποσότητα, ἀλλὰ κατὰ τὸν τόνον τῶν συλλαβῶν, καὶ ἐπειδὴ τὰ ἴχνη τῆς τοῦ δήμου προφορᾶς εὑρίσκονται καὶ ἐν τοῖς τεχνικοῖς ποιήμασι, φαίνεται, ὅτι τὰ δημοτικὰ τραγούδια, ὡς ἁπλαῖ τῆς φύσεως ἐκροαὶ, μόνον κατὰ τὸν τόνον ἤχησαν. Καὶ τῷ ὄντι, ἀπιθανόν ἐστι, ὅτι

ὁ κοινὸς ὄχλος ἐτραγούδησε κατὰ τὴν τεχνικὴν ποσότητα τὰ διάφορά του ᾄσματα, τὰ ἀνήκοντα εἰς τὴν καθημερινήν του ἀσχολίαν· π. χ. ὁ μυλωνᾶς τὰ ἐπιμύλια, ὁ ὑφαντὴς τὴν ἔλινον, ἡ τροφὸς τὰς καταβαυκαλήσεις (τὰ νανουρίσματα) ὁ θεριστὴς τὴν λιτυέρσην, ὁ βουκόλος τὸν βουκολιασμὸν (Ἀθήναιος ιδ. 618—619), ὁ τρυγοπατῶν τὸ ἐπιλήνιον, ὁ κωπηλάτης τὰ ἐρετικὰ, ὁ ποιμὴν τὰ ποιμενικὰ, καὶ ὁ χοιροβοσκὸς τὰ συβωτικά. (Πολυδεύκης δ', 56.)

Διὰ ταύτην τὴν τῆς δημοτικῆς ποιήσεως ἰδιότητα οἱ μὲν ἀρχαῖοι κωμικοὶ ἀπολείπουσι πολλάκις τὸ κατὰ τὴν ποσότητα μέτρον· „τὸν γὰρ βίον μιμούμενοι, θέλουσι δοκεῖν διαλελυμένως διαλέγεσθαι καὶ μὴ ἐμμέτρως. (Ἡφαιστίων, σελ. 32.) Ὁ δὲ Διονύσιος ὁ ἐξ Ἁλικαρνασσοῦ (περὶ συνθέσεως ὀνομάτων δ'. 28.) ἀναφέρων τρεῖς στίχους τῆς Ἰλιάδος (μ, 433—435) λέγει, ὅτι διὰ μεταθέσεως σχηματίζει ἐξ αὐτῶν στίχους προσῳδικοὺς, ὁμοίους ἐκείνοις τοῦ Εὐφορίωνος.

Οὐ βέβηλος, ὡς λέγεται τοῦ νέου Διονύσου,
Κἀγὼ δ' ἐξ εὐεργεσίης ὠργιασμένος ἥκω,
Ὁδεύων Πηλουσιακὸν κνεφαῖος παρὰ τέλμα.

Περὶ τούτων καὶ ὁ σχολιαστὴς τοῦ Ἑρμογένους λέγει· „τετράμετρα ταῦτα εἶναι προσῳδικά.“ (Ἡφαιστίων σελ. 115.) Τί σημαίνουσιν ἐνταῦθα οἱ προσῳδικοὶ στίχοι, τὰ προσῳδικὰ μέτρα; Κατὰ τὰ σχόλια εἰς τὴν τοῦ Διονυσίου Θρᾳκὸς γραμματικὴν „διαιροῦνται αἱ προσῳδίαι εἰς τέσσαρα, εἰς τόνους, εἰς χρόνους, εἰς πνεύματα, καὶ εἰς πάθη“. Δὲν εἶναι δυνατὸν νὰ σημαίνωσιν αἱ ἀνώτεραι τοῦ Ἀλικαρνασέως καὶ τοῦ Ἑρμογένους λέξεις (προσῳδικοὶ, προσῳδικὰ) τὸν μακρὸν ἢ βραχὺν χρόνον, τουτέστι τὴν ποσότητα τῶν συλλαβῶν· διότι πάντα τὰ τεχνικὰ μέτρα ἦσαν κατὰ τὴν ποσότητα ἐσχηματισμένα· ὅθεν περιττόν τι καὶ ἀνόητον ἤθελαν εἰπεῖ, ἂν διὰ τῆς λέξεως προσῳδικὸς τὰς μακρὰς ἢ βραχείας ἐσημείωναν. Ἐξ οὗ προέρχεται, ὅτι περὶ τονικῶν ὁμιλοῦσι στίχων, θέλοντες νὰ διακρίνωσιν αὐτοὺς ἀπὸ τῶν κατὰ τὴν ποσότητα ἐσχηματισμένων.

Τοιούτους στίχους ὠνόμασεν ἤδη ὁ μὲν σχολιαστὴς τοῦ Ἡφαιστίωνος πολιτικοὺς ἢ λογοειδεῖς (σελ. 179. 181.), ὁ δὲ Εὐστάθιος δημοτικοὺς (Ιλ. α, 10.). Καὶ τοῦτο τὸ εἶδος ἐξενίκα ὀλίγον κατ' ὀλίγον τοὺς τεχνικοὺς ἢ κατὰ τὴν ποσότητα ἐσχηματισμένους.

Εἶναι μὲν βέβαιον, ὅτι ἔνιοι τῶν Ἑλλήνων, ὡς ὁ Τζέτζης, ὁ Πλανούδης, ὁ Ἀλλάτιος δυσαρέστως παρεπονήθησαν διὰ τὴν ἀμέλειαν τῶν τεχνικῶν μέτρων, ἰδόντες καταβιαζόμενα αὐτὰ ὑπὸ τοῦ δημοτικοῦ· διὰ τοῦτο καὶ βαρβάρους ἐκάλουν τοὺς συγγραφέας τῶν δημοτικῶν στίχων. Ἀλλὰ δὲν πρέπει νὰ τὸ λάβωμεν κατὰ τὴν λέξιν, ἐπειδὴ τέλος πάντων καὶ αὐτοὶ ὑποτάξαντες ἑαυτοὺς εἰς τὴν συνήθειαν τοῦ πλήθους, ἔγραψαν πολιτικοὺς στίχους.

Ἐξ ὅλων τῶν μέχρι τοῦδε εἰρημένων φαίνεται, ὅτι οἱ κατὰ τὸν τόνον στίχοι εἶναι ἰδιοκτησία τῆς ἑλληνικῆς ἀρχαιότητος καὶ ὄχι ξένον του μεσαιῶνος δάνειον, ὡς οἱ ἐχθρόφρονες ἢ ἐπιπολαίως καὶ τροπετῶς κρίνοντες διϊσχυρίζονται.

Ἄλλοι ὅμως ἐξ ἀντιπαθείας κατὰ τῶν τοιούτων στίχων δὲν εὑρίσκουσιν ἐν αὐτοῖς οὐδεμίαν ἁρμονίαν, διότι (οὕτω στοχάζονται) ἀπούσης τῆς ποσότητος λείπει ἡ τῶν μακρῶν καὶ βραχέων ἀλλαγὴ, ἣν οὐδαμῶς ἀντικαθισταίνει ὁ τόνος, ἐπειδὴ ἑκάστη λέξις ἕνα μόνον ἔχει τόνον, ὥστε ἡ πολλὰ μεγάλη ἔλλειψις τῶν ἐκτεινομένων φωνηέντων ἀνυπόφερτον κάμνει τὴν προφοράν.

Ἂς μελετῶσιν οἱ τοιαῦτα νομίζοντες τοὺς ἑπομένους στίχους τοῦ Σοφοκλέους (Οἰδιπ. ἐπὶ Κωλωνῷ), ὧν ὁ τόνος ὁλοκλήρως συμπίπτει μετὰ τῆς ποσότητος.

10. *ἢ πρὸς βεβήλους ἢ πρὸς ἄλσεσιν θεῶν.*
24. *τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ.*
33. *ὦ ξεῖν', ἀκούων τῆσδε τῆς ὑπὲρ τ' ἐμοῦ.*
52. *τίς δ' ἔσθ' ὁ χῶρος δῆτ', ἐν ᾧ βεβήκαμεν;*
65. *καὶ κάρτα τοῦδε τοῦ Θεοῦ γ' ἐπώνυμοι.*
76. *γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος.*
269. *ὧν οὕνεκ' ἐκφοβεῖ με· τοῦτ' ἐγὼ καλῶς.*
299. *ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν' ἐντροπήν.*
394. *νῦν γὰρ θεοὶ σ' ὀρθοῦσι, πρόσθε δ' ὤλλυσαν.*
453. *μαντεῖ' ἀκούων συννοῶν τε τἄξ ἐμοῦ.*
554. *ἐν ταῖσδ' ἀκούων μᾶλλον ἐξεπίσταμαι.*
650. *οὔτοι σ' ὑφ' ὅρκου γ', ὡς κακὸν, πιστώσομαι.*
728. *ἄνδρες χθονὸς τῆσδ' εὐγενεῖς οἰκήτορες.*
915. *τὰ τῆςδε τῆς γῆς κύρι' ὧδ' ἐπεισπεσών.*
1004. *καὶ τὰς Ἀθήνας ὡς κατῴκηνται καλῶς.*
1107. *ποῦ δῆτα; ποῦστον; — αἵδ' ὁμοῦ πελάζομεν.*
1207. *μηδεὶς κρατείτω τῆς ἐμῆς ψυχῆς ποτέ.*
1368. *αἵδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν.*
1432. *καὶ μή μ' ἐπίσχης γ'. ἀλλ' ἐμοὶ μὲν ἥδ' ὁδός.*
1629. *ὁ δ' ὡς ἐπῄσθετ' ἐκ θεοῦ καλούμενος.*

Ἐνταῦθα πανταχοῦ κεῖται ὁ τόνος ἐπὶ τῆς κατὰ τὴν ποσότητα μακρᾶς συλλαβῆς, ἐκτὸς τῆς ὁποίας μόλις εὑρίσκεται ἄλλη μακρά. Οὗτοι οἱ στίχοι εἶναι λοιπὸν ὁλοκλήρως τονικοί. Ἀλλὰ τυγχάνουσι διὰ τοῦτο χειρότεροι ὄντες τῶν ἄλλων; Ἆρά γε θέλομεν καταφρονήσει ἐν τῇ σημερινῇ γλώσσῃ, ὅ τι θαυμάζομεν εἰς τὴν ἀρχαίαν;

Γ'.

Στίχοι ὁμοιοκαταληκτοῦντες.

Οἱ ἀρχαῖοι Ἕλληνες εἶχον καὶ στίχους ὁμοιοκαταληκτοῦντας. Τοῦτο θὰ δείξω ἐκ διαφόρων ποιητῶν καὶ πεζογράφων κατὰ χρονολογικὴν τάξιν.

Τὰ τοῦ Ὁμήρου ποιήματα περιέχουσι στίχους, ὧν ἡ τομὴ τοῦ μέσου ὁμοιοκαταληκτεῖ μετὰ τῆς παραληγούσης καὶ ληγούσης τοῦ τέλους, οἷον·

Ἰλιάδος.

β, 220. ἔχθιστος δ' Ἀχιλῆϊ
μάλιστ' ἦν ἠδ' Ὀδυσῆϊ
175. ῥεῖα διακρίνωσιν
ἐπεί κε νομῷ μιγέωσιν
γ, 84. ὣς ἔφαθ' οἱ δ' ἔσχοντο
μάχης ἄνεῳ τ' ἐγένοντο.
ε, 3. Ἀργείοισι γένοιτο
ἰδὲ κλέος ἐσθλὸν ἄροιτο.
ζ, 343. τὸν δ' Ἑλένη μύθοισι
προσηύδα μειλιχίοισι
υ, 392. Ὕλλῳ ἐπ' ἰχθυόεντι
καὶ Ἕρμῳ δινήεντι.

Ὀδυσσείας.

α, 40. ἐκ γὰρ Ὀρέσταο
τίσις ἔσσεται Ἀτρεΐδαο.
397. αὐτὰρ ἐγὼν οἴκοιο
ἄναξ ἔσομ' ἡμετέροιο
δ, 684. μὴ μνηστεύσαντες
μηδ' ἄλλοθ' ὁμιλήσαντες.

ξ, 199. ἐκ μὲν Κρητάων
γένος εὔχομαι εὐρειάων
π, 353. ἱστία τε στέλλοντας
ἐρετμά τε χερσὶν ἔχοντας.

Πολλοὶ τῶν τοῦ Ὁμήρου στίχων ὁμοιοκαταληκτοῦσι μετ' ἀλλήλων, π. χ.

Ἰλιάδος.

α, 96. τοὔνεκ' ἄρ' ἄλγεα δῶκεν ἑκηβόλος ἠδ' ἔτι δώσει,
οὐδ' ὅγε πρὶν Δαναοῖσιν ἀεικέα λοιγὸν ἀπώσει.
β, 87. ἠΰτε ἔθνεα εἶσι μελισσάων ἁδινάων,
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων.

Τούτους τοὺς στίχους ἀναφέρει ὁ συγγραφεὺς περὶ τοῦ βίου καὶ τῆς ποιήσεως Ὁμήρου ἐν τοῖς τοῦ Πλουτάρχου λέγων (Β' 35). „Ὅταν εἰς ὀνόματα ὁμοίως κλινόμενα λήγωσιν αἱ περιόδοι ἢ τὰ κῶλα, καὶ ταῦτα εἰς πτώσεις ὁμοίας, ὁμοιόπτωτον τοῦτο ἰδίως ὀνομάζεται· οἷόν ἐστιν ἠΰτε ἔθνεα κ. τ. λ. Τὰ δὲ εἰρημένα καὶ τὰ τοιαῦτα μάλιστα προστίθησι τῷ λόγῳ χάριν καὶ ἡδονήν“.

Ἰλιάδος.

β, 737. τῷ δ' ἅμα τεσσαράκοντα μέλαιναι νῆες ἕποντο.
οἱ δ' Ἄργισσαν ἔχον καὶ Γυρτώνην ἐνέμοντο.
ζ, 303. θῆκεν Ἀθηναίης ἐπὶ γούνασιν ἠϋκόμοιο,
εὐχομένη δ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο.
ι, 236. Ζεὺς δέ σφι Κρονίδης ἐνδέξια σήματα φαίνων
ἀστράπτει. Ἕκτωρ δὲ μέγα σθένεϊ βλεμεαίνων.
σ, 46. Νημερτής τε καὶ Ἀψευδὴς καὶ Καλλιάνασσα.
ἔνθα δ' ἔην Κλυμένη Ἰάνειρά τε καὶ Ἰάνασσα.
φ, 523. . . . . θεῶν δέ ἑ μῆνις ἀνῆκεν
πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν.
ψ, 152. ὣς εἰπὼν ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
θῆκεν· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο.
ω, 329. οἱ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
οἱ μὲν ἄρ ἀψοῤῥοι προτὶ Ἴλιον ἀπονέοντο.

Ὀδυσσείας.

η, 212. . . . . . τοῖσίν κεν ἐν ἄλγεσιν ἰσωσαίμην.
καὶ δ' ἔτι κεν καὶ μᾶλλον ἐγὼ κακὰ μυθησαίμην.
„ 339. αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι.
αὐτὰρ ἐπεὶ στόρεσαν πυκινὸν λέχος ἐγκονέουσαι.

θ, 147. οὐ μὲν γὰρ μεῖζον κλέος ἀνέρος ὄφρα κεν ᾖσιν
ἢ ὅ τι ποσσίν τε ῥέξει καὶ χερσὶν ἑῇσιν.
ξ, 405. αὖτις δὲ κτείναιμι, φίλον τ' ἀπὸ θυμὸν ἑλοίμην.
πρόφρων κεν δὴ ἔπειτα Δία Κρονίωνα λιτοίμην.
χ, 323. τηλοῦ ἐμοὶ νόστοιο τέλος γλυκεροῖο γενέσθαι,
σοὶ δ' ἄλοχόν τε φίλην σπέσθαι καὶ τέκνα τεκέσθαι.

Παρὰ τῷ Ἡσιόδῳ ταύτας εὑρίσκομεν τὰς ὁμοιοκαταλήξεις.

Ἔργα καὶ Ἡμέραι.

1. Μοῦσαι Πιερίηθεν ἀοιδῇσι κλείουσαι,
δεῦτε, Δί' ἐννέπετε, σφέτερον πατέρ' ὑμνείουσαι.
471. . . . . εὐθημοσύνη γὰρ ἀρίστη
θνητοῖς ἀνθρώποις, κακοθημοσύνη δὲ κακίστη.
646. Εὖτ' ἂν ἐπ' ἐμπορίην τρέψῃς ἀεσίφρονα θυμόν,
βούληαι δὲ χρέα προφυγεῖν καὶ ἀτερπέα λιμόν.
672. ἑλκέμεν ἐς πόντον, φόρτον τ' εὖ πάντα τίθεσθαι.
σπεύδειν δ' ὅττι τάχιστα πάλιν οἶκόνδε νέεσθαι.
689. μὴ δ' ἐνὶ νηυσὶν ἅπαντα βίον κοίλῃσι τίθεσθαι
ἀλλὰ πλέω λείπειν τὰ δὲ μείονα φορτίζεσθαι.

Θεογονία.

226. Αὐτὰρ Ἔρις στυγερὴ τέκε μὲν Πόνον ἀλγινόεντα.
Λήθην τε Λιμόν τε καὶ Ἄλγεα δακρυόεντα.
256. Γλαυκονόμη τε φιλομμειδὴς καὶ Ποντοπόρεια,
Λειαγόρη τε καὶ Εὐαγόρη καὶ Λαομέδεια.
321. τῆς δ' ἦν τρεῖς κεφαλαί· μία μὲν χαροποῖο λέοντος,
ἡ δὲ χιμαίρης, ἡ δ' ὄφιος, κρατεροῖο δράκοντος.
429. ᾧ δ' ἐθέλει μεγάλως παραγίγνεται ἠδ' ὀνίνησιν.
ἔν τ' ἀγορῇ λαοῖσι μεταπρέπει ὃν κ' ἐθέλῃσιν.

Ἐν τοῖς τῶν ἑπτὰ σοφῶν ἀποφθέγμασι παρὰ Δημητρίῳ Φαλερεῖ (ἔκδοσις Μουλλαχίου fragmenta philosophorum Graecorum Parisiis ed. Didot 1860) τὰ ἑπόμενα τοῦ Βίαντός εἰσιν, ὡς νομίζω, στίχοι ὁμοιοκαταληκτοῦντες·

Κτῆσαι ἐν μὲν νεότητι εὐπραξίαν
Ἐν δὲ τῷ γήρᾳ σοφίαν.

Ὁμοίως ἐν ἄλλοις τῶν αὐτῶν ἀποφθέγμασιν ἐκ διαφόρων συγγραφέων συνειλεγμένοις (ἔκδοσ. Μουλλαχίου) τὰ ἑξῆς.

Πιττακὸς ἐρωτήσας τινὰ, διὰ τὶ δὲν θέλει νὰ νυμφευθῇ, οὗτος εἶπεν.

Ἐὰν μὲν καλὴν γήμω, ἕξω κοινήν,
ἐὰν δὲ αἰσχρὰν, ἕξω ποινήν.

Οὐδαμῶς, ἀπεκρίνατο ὁ Πιττακός, ἀλλ'

Ἐὰν μὲν καλὴν γήμῃς, οὐχ ἕξεις ποινήν,
ἐὰν δὲ αἰσχρὰν, οὐχ ἕξεις κοινήν.

Περίανδρος εἶπεν·

Ὥσπερ ἡ ἐρυσίβη ἴδιόν ἐστι τοῦ σίτου νόσημα
οὕτω φθόνος φιλίας ἐστὶν ἀῤῥώστημα.

Ἀνάχαρσις ἐθαύμασε τοὺς Ἕλληνας, ὅτι

Τὸν μὲν καπνὸν ἐν τοῖς ὄρεσι καταλείπουσι,
Τὰ δὲ ξύλα εἰς τὴν πόλιν κομίζουσι.

Αἱ διδασκαλίαι τῶν Αἰσώπου μύθων τούτους τοὺς ὁμοιοκαταληκτοῦντας παρέχουσι·

δ'. μῦθος. Ἀλώπηξ καὶ Τράγος·

Τὸν φρόνιμον ἄνθρωπον
δεῖ πρότερον
τὰ τέλη τῶν πραγμάτων σκοπεῖν,
εἶθ' οὕτως αὐτοῖς ἐγχειρεῖν.

μῦθος 164. Ποιμὴν καὶ Θάλασσα.

Οὕτω πολλάκις τὰ παθήματα
τοῖς φρονίμοις γίνεται μαθήματα.

μῦθος 208. Ἔλαφος καὶ Μήτηρ.

Παραινεῖν ἕτοιμον,
ἃ ποιεῖν ἀπορώτερον.

μῦθος 318. Ποιμὴν καὶ Κύων.

Πρὸς ἄνδρα λόγοις μὲν φίλον φαινόμενον,
Πονηρὰ δὲ κατὰ νοῦν βουλευόμενον.

μῦθος 346. Κύων καὶ Λαγωός.

Ἄνθρωποί τινες ἔξωθεν μὲν φιλίαν ὑποκρίνονται,
Ἔσωθεν δὲ κακίας καὶ ἀπηνείας πεπλήρωνται.

Τὰ Θεόγνιδος ἐλεγεῖα (κατὰ τὴν ἔκδοσιν τοῦ Χαρτούγγου· Λιψία 1859) περιέχουσιν ὁμοίως πολλοὺς ὁμοιοκαταληκτοῦντας στίχους· π. χ.

2. Λήσομαι ἀρχόμενος
οὐδ' ἀποπαυόμενος.

18. *τοῦτ' ἔπος ἀθανάτων*
ἦλθε διὰ στομάτων
136. *ἐς τέλος εἴτ' ἀγαθὸν*
γίνεται εἴτε κακόν.
265. *ὥσθ' ἅμα ὑδρεύει*
καί με γοῶσα φέρει.
320. *τολμᾷ δ' ἔν τ' ἀγαθοῖς*
κείμενος ἔν τε κακοῖς.
342. *δὸς δέ μοι ἀντὶ κακῶν*
καί τι παθεῖν ἀγαθόν.
369. *μωμεῦνται δέ με πολλοί*
ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί.
395. *τοῦ μὲν γὰρ τὰ δίκαια φρονεῖ*
νόος, οὔτέ περ αἰεὶ
ἰθεῖα γνώμη
στήθεσιν ἐμπεφύῃ.
424. *Ἐσθλὸν δ' ἐξελθόν*
λώϊον ἢ τὸ κακόν.
443. *δειλὸς δ' οὔτ' ἀγαθοῖσιν*
ἐπίσταται οὔτε κακοῖσιν.
490. *τὴν δὲ θεοῖς σπένδεις*
τὴν δ' ἐπὶ χείλεσ' ἔχεις.
631. *αἰὲν ἐν ἄταις*
Κύρνε, καὶ ἐν μεγάλαις
κεῖται ἀμηχανίαις.
656. *ἀλλά τοι ἀλλότριον*
κῆδος ἐφημέριον.
834. *αἴτιος ἀθανάτων*
Κύρνε, θεῶν μακάρων.
893. *Οἱ δ' ἀγαθοὶ φεύγουσι,*
πόλιν δὲ κακοὶ διέπουσι.
940. *καὶ γὰρ τὴν προτέρην*
νύκτ' ἐπὶ κῶμον ἔβην.
1101. *ὅστις σοι βούλευσεν*
ἐμεῦ πέρι, καὶ σ' ἐκέλευσεν.
1120. *Λητοΐδης καὶ Ζεύς,*
ἀθανάτων βασιλεύς.
1194. *τί ξύλον εἰ σκληρὸν*
μοι μέλει ἢ μαλακόν;
1370. *οὐδεὶς ἀλλ' αἰεί*
τὸν παρέοντα φιλεῖ.
1376. *αἰεὶ σπουδαίην*
ἔρχεαι ἀγγελίην.

Ἡρακλείτου ἀποσπάσματα (ἐκδ. Μουλλαχίου).

88. *θάλασσα ὕδωρ καθαρώτατον*
καὶ μιαρώτατον.
ἰχθύσι μὲν πότιμον καὶ σωτήριον
ἀνθρώποις δὲ ἄποτον καὶ ὀλέθριον.

Ἐμπεδοκλέους ἔπη περὶ φύσεως (ἔκδ. τοῦ αὐτοῦ).

22. *Ἔνθ' ἦσαν Χθονίη τε καὶ Ἡλιόπη ταναῶπις,*
Δῆρίς θ' αἱματόεσσα καὶ Ἁρμονίη θεμερῶπις.
434. *φῆρές τ' οἰωνοί τε, φιλοφροσύνη τε δεδήει,*
δένδρεα δ' ἐμπεδόφυλλα καὶ ἐμπεδόκαρπα τεθήλει.

Ἐκ τοῦ ἐννάτου ἀποσπάσματος τῶν Ὀρφικῶν (ἔκδ. τοῦ αὐτοῦ).

Μήσατο δ' ἄλλην γαῖαν ἀπείριτον, ἥν τε σελήνην
ἀθάνατοι κλήζουσιν, ἐπιχθόνιοι δέ τε μήνην.

Δημοκρίτου ἠθικὰ ἀποσπάσματα (ἔκδ. τοῦ αὐτοῦ).

27. *Εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασι ἐνθυμεόμενος*
δυστυχὴς δὲ ὁ ἐπὶ πολλοῖσι δυσθυμεόμενος.
80. *ἰατρικὴ μὲν σώματος νόσους ἀκέεται,*
σοφίη δὲ ψυχὴν παθέων ἀπαιρέεται
144. *πλεονεξίη τό πάντα λέγειν*
μηδὲν δὲ ἀκούειν ἐθέλειν.
146. *οἱ φιλομεμφέες*
εἰς φιλίην μὴ εὐφυέες.
181. *ἔνιοι πολίων μὲν δεσπόζουσι*
γυναιξὶ δὲ δουλεύουσι.

Αἰσχύλου Προμηθεὺς δεσμώτης.

48. *Ἔμπας τὶς αὐτὴν ἄλλος ὤφελεν λαχεῖν.*
Ἅπαντ' ἐπράχθη, πλὴν θεοῖσι κοιρανεῖν.
134. *Ἐκ δ' ἔπληξέ μου τὰν θεμερῶπιν αἰδῶ.*
σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ.
415. *Κολχίδος τε γᾶς ἔνοικοι*
παρθένοι μάχας ἄτρεστοι.
866. *. . . . . . ἀλλ' ἀπαμβλυνθήσεται*
γνώμην· δυοῖν δὲ θάτερον βουλήσεται.
891. *Καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων*
μήτε τῶν γέννᾳ μεγαλυνομένων.
1030. *Πρὸς ταῦτα βούλευ'· ὡς ὅδ' οὐ πεπλασμένος*
ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος.

1037. . . . ἄνωγε γάρ σε τὴν αὐθαδίαν
μεθέντ' ἐρευνᾷν τὴν σοφὴν εὐβουλίαν.

Αἰσχύλου Ἑπτὰ ἐπὶ Θήβας.

155. Δορυσίνακτος αἰθὴρ ἐπιμαίνεται.
τί πόλις ἄμμι πάσχει; τί γενήσεται;
177. Μέλεσθέ θ' ἱερῶν δημίων
μελόμενα δ' ἀρήξατε·
φιλοθύτων δέ τι πόλεως ὀργίων
μνήστορες ἔστε μοι.
616. Οὐχ' ὡς ἄθυμον οὐδὲ λήματος κάκη,
ἀλλ' οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ·
785. Τέκνοισιν δ' ἀρὰς
ἐφῆκεν, ἐπικότους τροφὰς,
αἰαῖ, πικρογλώσσους ἀράς.
911. Σιδαρόπλακτοι μὲν ᾧδ' ἔχουσι,
σιδαρόπλακτοι δὲ τοὺς μένουσι.
962. Δορὶ δ' ἔκανες.
δορὶ δ' ἔθανες.

Αἰσχύλου Πέρσαι.

171. Τοῦδέ μοι γένεσθε, Πέρσαι, γηραλέα πιστώματα.
πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα.
353. Ἦρξεν μὲν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ
φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθέν.
Ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ.
361. Ὁ δ' εὐθὺς ὡς ἤκουσεν, οὐ ξυνεὶς δόλον
Ἕλληνος ἀνδρὸς, οὐδὲ τῶν θεῶν φθόνον
πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον.
523. Ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα
ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν·
ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξειργασμένοις,
ἀλλ' ἐς τὸ λοιπὸν εἴτι δὴ λῷον πέλοι.
ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις,
πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα.
550. Ξέρξης μὲν ἤγαγεν, ποποῖ,
Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ.

Αἰσχύλου Ἀγαμέμνων.

31. Αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι·
τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι.

938. *Φήμη γε μέν τοι δημόθρους μέγα σθένει.*
ὁ δ' ἀφθόνητος γ' οὐκ ἐπίζηλος πέλει.
970. *Ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς*
οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει,
ἀνδρός τελείου δῶμ' ἐπιστρωφωμένου.
Ζεῦ, Ζεῦ τέλειε, τὰς ἐμὰς εὐ χὰς τέλει.
1068. *Οὐ μὴν πλέω ῥίψας ἀτιμωθήσομαι.*
ἐγὼ δ', ἐποικτείρω γάρ, οὐ θυμώσομαι.
1340. *Σῖγα. Τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος;*
ὤμοι μαλ' αὖθις, δευτέραν πεπληγμένος.

Αἰσχύλου Χοηφόροι.

7. *. . . . πλόκαμον Ἰνάχῳ θρεπτήριον,*
τὸν δεύτερον δὲ τόνδε πενθητήριον.
117. *Τοῖς αἰτίοις νῦν, τοῦ φόνου μεμνημένη*
τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη.
900. *Ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα*
τὰ πυθόχρηστα, πιστὰ δ' εὐορκώματα;

Αἰσχύλου Εὐμενίδες.

198. *Ἄναξ Ἄπολλον, ἀντάκουσον ἐν μέρει.*
αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλει.
461. *Κρύψασα, λουτρῶν*
ἐξεμαρτύρει φόνον.
Κἀγὼ κατελθών,
τὸν πρὸ τοῦ φεύγων χρόνον.
485. *Ὑμεῖς δὲ μαρτύρια*
τε καὶ τεκμήρια
καλεῖσθ' ἀρωγὰ τῆς δίκης ὁρκώματα.
κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα.
577. *Ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος*
ἐμῶν· φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος.
791. *Ἰὼ μεγάλα τοι κόραι δυστυχεῖς*
Νυκτὸς ἀτιμοπενθεῖς.

Αἰσχύλου Ἱκέτιδες.

49. *Ὄντ' ἐπιλεξαμένα*
νῦν ἐν ποιονόμοις
ματρὸς ἀρχαίας τόποις
τῶν πρόσθε πόνων μνασαμένα.
446. *Καὶ γλῶσσα τοξεύσασα μὴ τὰ καίρια,*

γένοιτο μύθου μῦθος ἂν θελκτήριος,
ἀλγεινᾶ θυμοῦ κάρτα κινητήρια.
Ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται,
δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια.
502. *Καὶ συμβόλοισιν οὐ πολυστομεῖν χρεών*
ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν.
946. *Ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα*
οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα.

Σοφοκλέους Αἴας.

62. *Τοὺς ζῶντας αὖ δεσμοῖσι συνδήσας βοῶν*
ποίμνας τε πάσας ἐς δόμους κομίζεται
ὡς ἄνδρας, οὐχ ὡς εὔκερων ἄγραν ἔχων·
Καὶ νῦν κατ' οἴκους συνδέτους αἰκίζεται.
647. *Φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται*
κοὐκ ἔστ' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται.
807. *Ἔγνωκα γὰρ δὴ φωτὸς ἠπατημένη*
καὶ τῆς παλαιᾶς χάριτος ἐκβεβλημένη.
1085. *Καὶ μὴ δοκῶμεν δρῶντες ἂν ἡδώμεθα*
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα.
1248. *Εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν*
καὶ τοὺς ὄπισθεν ἐς τὸ πρόσθεν ἄξομεν.
1297. *Ἐφῆκεν ἐλλοῖς ἰχθύσιν διαφθοράν.*
Τοιοῦτος ὢν τοιῷδ' ὀνειδίζεις σποράν;

Σοφοκλέους Οἰδίπους Τύραννος.

76. *Ὅταν δ' ἵκηται, τηνικαῦτ' ἐγὼ κακός*
μὴ δρῶν ἂν εἴην πάνθ' ὅσ' ἂν δηλοῖ θεός.
110. *Ἐν τῇδ' ἔφασκε γῇ. Τὸ δὲ ζητούμενον*
ἁλωτόν· ἐκφεύγει δὲ τἀμελούμενον.
370. *ἀλλ' ἔστι, πλὴν σοί· σοὶ δὲ τοῦτ' οὐκ ἔστ', ἐπεὶ*
τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ.
422. *Ὅταν καταίσθῃ τὸν ὑμέναιον, ὃν δόμοις*
ἄνορμον εἰσέπλευσας, εὐπλοίας τυχών;
ἄλλων δὲ πλῆθος οὐκ ἐπαισθάνει κακῶν,
ἅ σ' ἐξισώσει σοί τε καὶ τοῖς σοῖς τέκνοις.
572. *Ὁθούνεκ', εἰ μή σοι ξυνῆλθε, τὰς ἐμάς*
οὐκ ἄν ποτ' εἶπε Λαΐου διαφθοράς.
605. *Τοῦτ' ἄλλ', ἐάν με τῷ τερασκόπῳ λάβῃς,*
κοινῇ τι βουλεύσοντα μὴ μ' ἁπλῇ κτάνῃς.
823. *Ἆρ' οὐχὶ πᾶς ἄναγνος; εἴ με χρὴ φυγεῖν*
καί μοι φυγόντι μή 'στι τοὺς ἐμοὺς ἰδεῖν.

1136. *Ἐπλησίαζον τῷδε τἀνδρὶ τρεῖς ὅλους*
ἐξ ἦρος εἰς ἀρκτοῦρον ἑκμήνους χρόνους.
1150. *Οὐκ ἐννέπων τὸν παῖδ', ὃν οὗτος ἱστορεῖ.*
λέγει γὰρ εἰδὼς οὐδὲν, ἀλλ' ἄλλως πονεῖ.

Σοφοκλέους Οἰδίπους ἐπὶ Κολωνῷ.

306. *Ὄνομα διήκει πάντας, ὥστε κεὶ βραδὺς*
ἕρπει, κλύων σου δεῦρ' ἀφίξεται ταχύς.
534. *Αὗται γὰρ ἀπόγονοι τεαί;*
κοιναί γε πατρὸς ἀδελφεαί.
775. *Καίτοι τίς αὕτη τέρψις ἄκοντας φιλεῖν,*
ὥσπερ τις εἴ σοι λιπαροῦντι μὲν τυχεῖν
μηδὲν διδοίη μηδ' ἐπαρκέσαι θέλοι,
πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε
δωροῖθ', ὅτ' οὐδὲν ἡ χάρις χάριν φέροι.
897. *Οὔκουν τις ὡς τάχιστα προσπόλων μολὼν*
πρὸς τούσδε βωμοὺς πάντ' ἀναγκάσει λεών.
1273. *Οὐδ' ἀνταμείβει μ' οὐδέν; ἀλλ' ἀτιμάσας*
πέμψεις ἄναυδος, οὐδ' ἃ μηνίεις φράσας;
1581. *Ἃ δ' ἦν τὰ πραχθέντ' οὐθ' ὁ μῦθος ἐν βραχεῖ*
φράσαι πάρεστιν οὔτε τἄργ' ὅσ' ἦν ἐκεῖ.

Σοφοκλέους Ἀντιγόνη·

272. *. . . . ἦν δ' ὁ μῦθος ὡς ἀνοιστέον*
σοὶ τοὔργον εἴη τοῦτο κοὐχὶ κρυπτέον.
551. *Ἀλγοῦσα μὲν δὴ κεἰ γέλωτ' ἐν σοι γελῶ.*
τί δῆτ' ἂν ἀλλὰ νῦν σ' ἔτ' ὠφελοῖμ' ἐγώ;
766. *Ἀνὴρ, ἄναξ, βέβηκεν ἐξ ὀργῆς ταχύς·*
νοῦς δ' ἐστὶ τηλικοῦτος ἀλγήσας βαρύς.
873. *Κράτος δ' ὅτῳ κράτος μέλει*
παραβατὸν οὐδαμῇ πέλει.
1188. *. . . . . . ὑπτία δὲ κλίνομαι*
δείσασα πρὸς δμωαῖσι κἀποπλήσσομαι.

Σοφοκλέους Φιλοκτήτης.

9. *Παρῆν ἐκήλοις προσθιγεῖν, ἀλλ' ἀγρίαις*
κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις.
94. *. . . . . . Βούλομαι δ', ἄναξ, καλῶς*
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς.
121. *Ἦ μνημονεύεις οὖν ἅ σοι παρῄνεσα;*
σάφ' ἴσθ', ἐπείπερ εἰσάπαξ συνῄνεσα.

176. Ὦ παλάμαι θνητῶν,
ὦ δύστανα γένη βροτῶν,
οἷς μὴ μέτριος αἰών.
1352. Ἀλλ' εἰκάθω δῆτ'; εἶτα πῶς ὁ δύσμορος
ἐς φῶς τάδ' ἔρξας εἶμι; τῷ προσήγορος;

Σοφοκλέους Τραχίνιαι.

232. Ὦ φίλτατ' ἀνδρῶν, πρῶθ' ἃ πρῶτα βούλομαι
δίδαξον, εἰ ζῶνθ' Ἡρακλῆ προσδέξομαι.
492. . . . . . ἀλλ' εἴσω στέγης
χωρῶμεν, ὡς λόγων τ' ἐπιστολὰς φέρῃς.
582. Κακὰς δὲ τόλμας μήτ' ἐπισταίμην ἐγὼ
μήτ' ἐκμάθοιμι, τὰς δὲ τολμώσας στυγῶ.
764. Κόσμῳ τε χαίρων καὶ στολῇ, κατηύχετο,
ὅπως δὲ σεμνῶν ὀργίων ἐδαίετο.
907. Ἄλλῃ δὲ κἄλλῃ δωμάτων στρωφωμένη,
εἴ του φίλου βλέψειεν οἰκετῶν δέμας,
ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη,
αὐτὴ τὸν αὑτῆς δαίμον' ἀγκαλουμένη.
1265. Τούτων θέμενοι συγγνωμοσύνην,
μεγάλην δὲ θεοῖς ἀγνωμοσύνην.

Εὐριπίδου Ἑκάβη.

29. Πολλοῖς διαύλοις κυμάτων φορούμενος,
ἄκλαυστος, ἄταφος, νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀΐσσω σῶμ' ἐρημώσας ἐμόν,
τριταῖον ἤδη φέγγος αἰωρούμενος.
289. Γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε
βωμῶν ἀποσπάσαντες, ἀλλ' ᾠκτείρατε.
326. Τόλμα τάδ'· ἡμεῖς δ', εἰ κακῶς νομίζομεν
τιμᾶν τὸν ἐσθλόν, ἀμαθίαν ὀφλήσομεν.
825. Κύπριν προβάλλειν· ἀλλ' ὅμως εἰρήσεται.
πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται.
1063. Τάλαιναι κόραι, τάλαιναι, Φρυγῶν.
ὦ κατάρατοι,
ποῖ καί με φυγᾷ πτώσσουσι μυχῶν;
1155. Ἄλλαι δὲ κάμακα Θρηκίαν θεώμενα
γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.
ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι.

Εὐριπίδου Ὀρέστης.

27. . . . . ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν.
Φοίβου δ' ἀδικίαν μέν τί δεῖ κατηγορεῖν.

216. Ἀμνημονῶ γάρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν.
ὦ φίλταθ', ὥς μ' ηὔφρανας εἰς ὕπνον πεσών.
307. Οὐκ ἔστι· σύν σοι καὶ θανεῖν αἱρήσομαι
καὶ ζῆν· ἔχει γὰρ ταὐτόν· ἢν σὺ κατθάνῃς.
γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι.
567. Ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι,
ἐς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι.
609. Μᾶλλόν μ' ἀνάξεις ἐπὶ σὸν ἐξελθεῖν φόνον.
καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων.
846. Ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεών,
ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι
δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.
945. Ὅς ἠγόρευε σύγγονον σέ τε κτανεῖν.
μόλις δ' ἔπεισε μὴ πετρούμενος θανεῖν.
1522. Δοῦλος ὢν φοβεῖ τὸν Ἅδην, ὅς σ' ἀπαλλάξει κακῶν;
πᾶς ἀνὴρ, κἂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.

Εὐριπίδου Φοίνισσαι.

216. Καδμείων ἔμολον γᾶν
κλεινῶν Ἀγηνοριδᾶν,
478. Ὥστ' αὐτὸς ἄρχειν αὖθις ἀνὰ μέρος λαβών,
καὶ μὴ δι' ἔχθρας τῷδε καὶ φόνου μολών.
539, Τῷ πλέονι δ' ἀεὶ πολέμιον καθίσταται
τοὔλασσον, ἐχθρᾶς θ' ἡμέρας κατάρχεται.
627. Ὡς ἄτιμος, οἰκτρὰ πάσχων, ἐξελαίνομαι χθονός,
δοῦλος ὥς, ἀλλ' οὐχὶ ταὐτοῦ πατρὸς Οἰδίπου γεγώς.
718. Θάρσει· τάχ' αὐτῶν πεδίον ἐμπλήσω φόνου.
Θέλοιμ' ἄν, ἀλλὰ τοῦθ' ὁρῶ πολλοῦ πόνου.
1033. Ἰάλεμοι δὲ ματέρων,
ἰάλεμοι δὲ παρθένων.
1252. Ἐτεοκλέα δ' αὖ, νῦν πόλεως ὑπερμαχεῖς,
νῦν καλλίνικος γενόμενος σκήπτρων κρατεῖς.
1477. Πόλει δ' ἀγῶνες οἱ μὲν εὐτυχέστατοι,
τῇδ' ἐξέβησαν, οἱ δὲ δυστυχέστατοι.
1567. Δάκρυα γοερὰ φανερὰ πᾶσι τιθεμένα
τέκεσι μαστόν
ἔφερεν, ἔφερεν, ἱκέτις ἱκέταν ἀρομένα.
1748. Πρὸς ἥλικας φάνηθι σάς,
ἅλις ὀδυρμάτων ἐμῶν
σὺ δ' ἀμφὶ βωμίους λιτάς.
κόρον ἔχουσ' ἐμῶν κακῶν.

Εὐριπίδου Μήδεια.

242. *Πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγόν,*
ζηλωτὸς αἰών·
εἰ μὴ θανεῖν χρεών.
Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνών,
ἔξω μολών.
407. *Γυναῖκες, ἐς μὲν ἔσθλ' ἀμηχανώταται,*
κακῶν δὲ πάντων τέκτονες σοφώταται.
555. *σὸν μὲν ἐχθαίρων λέχος*
καινῆς δὲ νυμφῆς ἱμέρῳ πεπληγμένος.
757. *Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,*
πράξασ' ἃ μέλλω, καὶ τυχοῦσ' ἃ βούλομαι.
986. *Τοῖον εἰς ἕρκος πεσεῖται,*
καὶ μοῖραν θανάτου προσλήψεται δύστανος·
ἄταν δ' οὐχ ὑπεκδραμεῖται.
1182. *Ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετο.*
ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
δεινὸν στενάξας ἡ τάλαιν' ἠγείρετο·
διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο.
1218. *Χρόνῳ δ' ἀπέσβη καὶ μεθῆχ' ὁ δύσμορος*
ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
1312. *Ποῦ γάρ νιν ἔκτειν', ἐντὸς ἢ 'ξωθὲν δόμων;*
πύλας ἀνοίξας σῶν τέκνων ὄψει φόνον.

Εὐριπίδου Ἱππόλυτος.

106. *Οὐδείς μ' ἀρέσκει νυκτὶ θαυμαστὸς θεῶν.*
τιμαῖσιν, ὦ παῖ, δαιμόνων χρῆσθαι χρεών.
354. *Γυναῖκες οὐκ ἀνασχέτ', οὐκ ἀνέξομαι*
ζῶσ'· ἐχθρὸν ἦμαρ, ἐχθρὸν εἰσορῶ φάος.
Ῥίψω, μεθήσω σῶμ'· ἀπαλλαχθήσομαι.
581. *Ὁ τῆς φιλίππου παῖς Ἀμαζόνος βοᾷ*
Ἱππόλυτος, αὐδῶν δεινά
πρόσπολον κακά . . .
727. *. . . . πικροῦ δ' ἔρωτος ἡσσηθήσομαι.*
ἀτὰρ κακόν γε χἀτέρῳ γενήσομαι.
917. *Τί δὴ τέχνας μὲν μυρίας διδάσκετε,*
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε;
1045. *Ὡς ἄξιον τόδ' εἶπας· οὐχ οὕτω θανεῖ,*
ὥσπερ σὺ σαυτῷ τόνδε προὔθηκας νόμον.
ταχὺς γὰρ Ἅιδης ῥᾷστος ἀνδρὶ δυστυχεῖ.
ἀλλ' ἐκ πατρῴας φυγὰς ἀλητεύων χθονός

ξένην ἐπ' αἶαν λυπρὸν ἀντλήσεις βίον·
μισθὸς γάρ ἐστιν οὗτος ἀνδρὶ δυσσεβεῖ.
1105. Ξύνεσιν δέ τιν' ἐλπίδι κεύθων,
λείπομαι, ἔν τε τυχαῖς θνατῶν.
καὶ ἐν ἔργμασι λεύσσων.
ἄλλα γὰρ ἄλλοθεν ἀμείβεται.
μετὰ δ' ἵσταται ἀνδράσιν αἰών.
1379. Μιαιφόνων τε συγγόνων,
παλαιῶν προγεννητόρων.

Εὐριπίδου Ἄλκηστις.

302. Δίκαια δ', ὡς φήσεις σύ· τούςδε γὰρ φιλεῖς,
οὐχ ἧσσον ἢ 'γὼ παῖδας, εἴπερ εὖ φρονεῖς.
424. Παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ.
πᾶσιν δὲ Θεσσαλοῖσιν, ὧν ἐγὼ κρατῶ.
549. . . . . . οὐ πρέπει θοινωμένους
κλύειν στεναγμῶν οὐδὲ λυπεῖσθαι ξένους.
631. Κόσμον δὲ τὸν σὸν οὔποθ' ἥδ' ἐνδύσεται,
οὐ γάρ τι τῶν σῶν ἐνδεὴς ταφήσεται.
782. Βροτοῖς ἅπασιν κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται,
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται.
τὸ τῆς τύχης γὰρ ἀφανὲς οἷ προβήσεται.

Εὐριπίδου Ἀνδρομάχη.

64. Ὦ φιλτάτη σύνδουλε, σύνδουλος γὰρ εἶ
τῇ πρόσθ' ἀνάσσῃ τῇδε, νῦν δὲ δυστυχεῖ.
435. Οἴμοι. δόλῳ μ' ὑπῆλθες, ἠπαθήμεθα·
κήρυσσ' ἅπασιν· οὐ γὰρ ἐξαρνούμεθα.
689. Ἦν δ' ὀξυθυμῇς, σοὶ μὲν ἡ γλωσσαλγία
μείζων, ἐμοὶ δὲ κέρδος ἡ προμηθία.

Εὐριπίδου Ἱκέτιδες.

5. Ἐν ᾗ με θρέψας ὀλβίοις ἐν δώμασιν
Αἴθραν πατὴρ δίδωσι τῷ Πανδίονος
Αἰγεῖ δάμαρτα Λοξίου μαντεύμασιν.
301. Ἔγωγέ σ', ὦ παῖ, πρῶτα μὲν τὰ τῶν θεῶν
σκοπεῖν κελεύω, μὴ σφαλῇς ἀτιμάσας·
σφαλεῖ γὰρ ἐν τούτῳ μόνῳ, τἄλλ' εὖ φρονῶν.
671. Θάψαι θέλοντες, τὸν Πανελλήνων νόμον
σώζοντες, οὐδὲν δεόμενοι τεῖναι φόνον.

1034. Ὦ δυστάλαινα, δυστάλας δ' ἐγὼ γέρων,
. ἥκω, διπλοῦν πένθημα δωμάτων ἔχων.
1188. . . . . τόνδε δ' ὀμνύναι χρεὼν
Ἄδραστον· οὗτος κύριος, τύραννος ὤν.
πάσης ὑπὲρ γῆς Δαναΐδων ὁρκωμοτῶν.
1225. Κληθέντες ᾠδὰς ὑστέροισι θήσετε.
τοῖον στράτευμα σὺν θεῷ πορεύσετε.

Εὐριπίδου Ἰφιγένεια ἡ ἐν Αὐλίδι.

49. Ἐγένοντο Λήδᾳ Θεστιάδι τρεῖς παρθένοι
Φοίβη Κλυταιμνήστρα τ', ἐμὴ ξυνάορος,
Ἑλένη τε· ταύτης οἱ τὰ πρῶτ' ὠλβισμένοι.
520. Τὸ μαντικὸν πᾶν σπέρμα φιλότιμον κακόν.
κοὐδέν γε χρηστὸν οὐδὲ χρήσιμον παρόν.
576. Ἰδαίαις παρὰ μόσχοις,
βάρβαρα συρίζων, Φρυγίων
αὐλῶν Οὐλύμπου καλάμοις
μιμήματα πνείων.
619. Αἱ δ' ἐς τὸ πρόσθεν στῆτε πωλικῶν ζυγῶν,
φοβερὸν γὰρ ἀπαράμυθον ὄμμα πωλικόν.
809. Τῇσδε στρατείας Ἑλλάδ' οὐκ ἄνευ θεῶν.
τοὐμὸν μὲν οὖν δίκαιον ἐμὲ λέγειν χρεών.
954. Φθίας δὲ τοὔνομ' οὐδαμοῦ κεκλήσεται.
πικροὺς δὲ προχύτας χέρνιβάς τ' ἐνάρξεται.
1003. . . . . ἐμοὶ γάρ ἐστ' ἀγὼν
μέγιστος ὑμᾶς ἐξαπαλλάξαι κακῶν.
1165. . . . . ὧν μιᾶς σὺ τλημόνως μ' ἀποστερεῖς.
κἄν τίς σ' ἔρηται τίνος ἕκατί νιν κτενεῖς.
1209. Πιθοῦ· τὸ γάρ τοι τέκνα συσσῴζειν καλόν,
Ἀγάμεμνον· οὐδεὶς πρὸς τάδ' ἀντείποι βροτῶν.
1321. Τούσδ' εἰς ὅρμους εἰς Τροίαν
ὤφελεν ἐλάταν πομπαίαν,
μήτ' ἀνταίαν.
1328. τοῖς δ' ἐξορμᾶν, τοῖς δὲ στέλλειν
τοῖσι δὲ μέλλειν.
1443. ἥκιστ', ἐπεί μοι τύμβος οὐ χωσθήσεται,
τί δαί; τὸ θνήσκειν οὐ τάφος νομίζεται;
1513. Χερνίβων τε παγάς,
βωμὸν δαίμονος θεᾶς
ῥανίσιν αἱματοῤῥύτοις ῥανοῦσαν.
εὐφυῆ τε σώματος δέρην σφαγεῖσαν.

Εὐριπίδου Ἰφιγένεια ἡ ἐν Ταύροις.

103. *Φεύγωμεν, ἧπερ δεῦρ' ἐναυστολήσαμεν.*
Φεύγειν μὲν οὐκ ἀνεκτὸν, οὐδ' εἰώθαμεν.
227. *Βωμούς, οἰκτράν τ' αἰαζόντων*
αὐδάν, οἰκτρόν τ' ἐκβαλλόντων.
464. *Πόλις ἥδε τελεῖ, δέξαι θυσίας,*
ἃς ὁ παρ' ἡμῖν νόμος οὐχ' ὁσίας.
767. *σήμαινε δ' ᾧ χρὴ τάσδ' ἐπιστολὰς φέρειν*
πρὸς Ἄργος, ὅ τι τε χρὴ κλύοντά σου λέγειν.
1016. *Συνθεὶς τάδ' εἰς ἓν, νόστον ἐλπίζω λαβεῖν.*
Πῶς οὖν γένοιτ' ἂν ὥστε μήθ' ἡμᾶς θανεῖν.
1130. *Ἀείδων ἄξει λιπαράν*
εὖ σ' Ἀθηναίων ἐπὶ γᾶν.
1381. *Λαβὼν Ὀρέστην ὦμον εἰς ἀριστερόν,*
βὰς ἐς θάλασσαν κἀπὶ κλίμακος θορών.

Εὐριπίδου Ῥῆσος.

531. *Ἔγρεσθε, τί μέλλετε; κοιτᾶν,*
ἔργεσθε πρὸς φυλακάν.
906. *Ὄλατο μὲν Οἰνεΐδας,*
ὄλοιτο δὲ Λαρτιάδας.

Εὐριπίδου Τρῳάδες.

590. *Σύ τοι, λῦμ' Ἀχαιῶν,*
τέκνων δήποθ' ἁμῶν.
601. *Δάκρυά τ' ἐκ δακρύων καταλείβεται*
ἁμετέροισι δόμοις· ὁ θανὼν δ' ἐπιλάθεται.
727. *. . . . τούτων οὕνεκ' οὐ μάχης ἐρᾷν,*
οὐδ' αἰσχρὸν οὐδὲν οὐδ' ἐπίφθονόν σε δρᾷν.
1096. *Ἢ Σαλαμῖν' ἱεράν,*
ἢ δίπορον κορυφάν.
1245. *ἀοιδὰς δόντες ὑστέροις βροτῶν.*
χωρεῖτε, θάπτετ' ἀθλίῳ τύμβῳ νεκρόν.
1310. *Ἀγόμεθα, φερόμεθ' — ἄλγος, ἄλγος βοᾷς.*
δούλειον ὑπὸ μέλαθρον ἐκ πάτρας γ' ἐμᾶς.

Εὐριπίδου Βάκχαι.

33. *. . . . ὄρος δ' οἰκοῦσι παράκοποι φρενῶν.*
σκευήν τ' ἔχειν ἠνάγκασ' ὀργίων ἐμῶν.
136. *Ἐκ θίασων δρομαίων*
πέσῃ πεδόσε, νεβρίδος ἔχων

ἱερὸν ἐνδυτόν, ἀγρεύων
αἷμα τραγοκτόνον.
241. Τράχηλον σώματος χωρὶς τεμών,
ἐκεῖνος εἶναί φησι Διόνυσον θεόν.
352. Οἱ δ' ἀνὰ πόλιν στείχοντες ἐξιχνεύσατε
τὸν θηλύμορφον ξένον, ὃς εἰσφέρει νόσον
καινὴν γυναιξὶ καὶ λέχη λυμαίνεται.
κἄνπερ λάβηται, δέσμιον πορεύσατε
δεῦρ' αὐτὸν, ὡς ἂν λευσίμου δίκης τυχὼν
θάνῃ, πικρὰν βάκχευσιν ἐν Θήβαις ἰδών.
509. Χώρει· καθείρξατ' αὐτὸν ἱππικαῖς πέλας
φάτναισιν, ὡς ἂν σκότιον εἰσορᾷ κνέφας.
642. Πέπονθα δεινά· διαπέφευγέ μ' ὁ ξένος,
ὃς ἄρτι δεσμοῖς ἦν κατηναγκασμένος.
739. Ἄλλαι δὲ δαμάλας διεφόρουν σπαράγμασιν.
εἶδες δ' ἂν ἢ πλευρ', ἢ δίχηλον ἔμβασιν.
866. . . . . . ὡς νεβρὸς χλοεραῖς
ἐμπαίζουσα λείμακος ἡδοναῖς.
951. Μή σύ γε τὰ Νυμφῶν διολέσῃς ἱδρύματα
καὶ Πανὸς ἕδρας, ἔνθ' ἔχει συρίγματα.
1216. Ἕπεσθέ μοι φέροντες ἄθλιον βάρος
Πενθέως, ἕπεσθε, πρόσπολοι, δόμων πάρος.

Εὐριπίδου Ἡρακλεῖδαι.

92. Ἡρακλέους οἵδ' εἰσὶ παῖδες, ὦ ξένοι,
ἱκέται σέθεν τε καὶ πόλεως ἀφιγμένοι.
153. Φέρ' ἀντίθες γάρ, τούσδε τ' εἰς γαῖαν παρεὶς
ἡμᾶς τ' ἐάσας ἐξάγειν, τί κερδανεῖς;
422. Κἀγὼ πολίταις μὴ διαβληθήσομαι,
οὐ γὰρ τυραννίδ' ὥστε βαρβάρων ἔχω.
Ἀλλ' ἢν δίκαια δρῶ, δίκαια πείσομαι.
587. Καὶ νόστος ἡμῖν εὑρεθῇ ποτ' ἐκ θεῶν,
μέμνησθέ τὴν σώτειραν ὡς θάψαι χρεών.

Εὐριπίδου Ἑλένη.

601. Θαυμαστ', ἔλασσον τοὔνομ' ἢ τὸ πρᾶγμ' ἔχον.
Λέγ', ὡς φέρεις τι τῇδε τῇ σπουδῇ νέον.
868. Σὺ δ' αὖ κέλευθεν, εἴ τις ἔβλαψεν ποδὶ
στείβων ἀνοσίῳ, δὸς καθαρσίῳ φλογί.
1022. Αὐτοὶ μὲν οὖν τιν' ἔξοδον γ' εὑρίσκετε,
ἐγὼ δ' ἀποστᾶσ' ἐκποδὼν σιγήσομαι.
εἰς τῶν θεῶν δ' ἄρχεσθε, χ' ἱκετεύετε

τὴν μὲν σ' ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῷ μένειν.
1279. Ἐλθὼν δ' ἐς οἴκους ἐξελῶ κόσμον νεκρῷ.
καί σ' οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ.
1387. σιγητέον μοι· καί σε προσποιούμεθα
εὔνουν, κρατεῖν γε στόματος, ἣν δυνώμεθα.

Εὐριπίδου Ἴων.

322. Ἐς δ' ἄνδρ' ἀφίκου τίνα τροφὴν κεκτημένος;
βωμοί μ' ἔφερβον οὑπιών τ' ἀεὶ ξένος.
430. . . . . . ἀεὶ λοιδοροῦσ' αἰνίσσεται,
ἤτοι φιλοῦσά γ' ἧς ὕπερ μαντεύεται.
544. Ταῦτ' ἄμεινον, ὦ τέκνον.
ἦλθες ἐς νόθον τι λέκτρον;
614. Κᾆτ' ἢ προδοὺς σύ μ' ἐς δάμαρτα σὴν βλέπῃς,
ἢ τἀμὰ τιμῶν δῶμα συγχέας ἔχῃς;
870. Ἀλλ' οὐ τὸ Διὸς πολύαστρον ἕδος
καὶ τὴν ἐπ' ἐμοῖς σκοπέλοισι θεάν
λίμνης σ' ἐνύδρου Τριτωνιάδος
πότνιαν ἀκτάν.

Εὐριπίδου Ἡρακλῆς μαινόμενος.

170. Τῷ τοῦ Διὸς μὲν Ζεὺς ἀμυνέτω μέρει
παιδός· τὸ δ' εἰς ἔμ', Ἡράκλεις, ἐμοὶ μέλει.
335. Ἥξω πρὸς ὑμᾶς νερτέρᾳ δώσων χθονί.
ὦ τέκν', ὁμαρτεῖτ' ἀθλίῳ μητρὸς ποδί.
348. Αἴλινον μὲν ἐπ' εὐτυχεῖ
μολπᾷ Φοῖβος ἰαχεῖ.
516. Ὅδ' ἐστὶν ὃν γῆς νέρθεν εἰσηκούομεν,
εἰ μή γ' ὄνειρον ἐν φάει τι λεύσσομεν.
624. . . . . . . ἀλλὰ θάρσος ἴσχετε,
καὶ νάματ' ὄσσων μηκέτ' ἐξανίετε.

Εὐριπίδου Ἠλέκτρα.

309. Αὐτὴ δὲ πηγὰς ποταμίους φορουμένη·
ἀνέορτος ἱερῶν καὶ χορῶν τητωμένη.
883. Ἥκεις γὰρ οὐκ ἀχρεῖον ἔκπλεθρον δραμὼν
ἀγῶν' ἐς οἴκους, ἀλλὰ πολέμιον κτανών.
965. Καλῶς ἄρ' ἄρκυν ἐς μέσην πορεύεται.
καὶ μὴν ὄχοις γε καὶ στολῇ λαμπρύνεται.
1044. . . . . . εἶτα τὸν μὲν οὐ θανεῖν
κτείνοντα χρῆν τἄμ', ἐμὲ δὲ πρὸς κείνου παθεῖν;

Εὐριπίδου Κύκλωψ.

88. *Τεύχη φέρονται κενά, βορᾶς κεχρημένοι*
κρωσσοὺς θ' ὑδρηλούς, ὦ ταλαίπωροι ξένοι.
188. *Ἰδοὺ τάδ' ὑμῖν ποιμνίων βοσκήματα,*
ἄναξ Ὀδυσσεῦ, μηκάδων ἀρνῶν τροφαί,
πηκτοῦ γάλακτός τ' οὐ σπάνια τυρεύματα.
489. *Ἄχαριν κέλαδον μουσιζόμενος*
σκαιὸς ἀπῳδὸς καὶ κλαυσόμενος.

Ἀριστοφάνους Ἀχαρνῆς.

180. *Ἀχαρνικοί, στίπτοὶ γέροντες, πρίνινοι,*
ἀτεράμονες, μαραθωνομάχαι, σφενδάμνινοι.
333. *Ὡς ἀπολόμεσθ'. Ὁ λάρκος δημότης ὅδ' ἔστ' ἐμός.*
ἀλλὰ μὴ δράσῃς, ὃ μέλλεις· μηδαμῶς, ὦ μηδαμῶς.
547. *Μισθοῦ διδομένου, Παλλαδίων χρυσουμένων.*
στοιᾶς στεναχούσης, σιτίων μετρουμένων
ἀσκῶν, τροπωτήρων, κάδους ὠνουμένων.
552. *Τὸ νεώριον δ' αὖ κωπέων πλατουμένων,*
τύλων ψοφούντων, θαλαμιῶν τροπουμένων.
623. *Ἐγὼ δὲ κηρύττω γε Πελοποννησίοις*
ἅπασι καὶ Μεγαρεῦσι καὶ Βοιωτίοις.
818. *Ὤνθρωπε ποδαπός;*
χοιροπώλας Μεγαρικός.
874. *Ὀρίγανον, γλαχώ, ψιάθως, θρυαλλίδας,*
νάσσας, κολοιώς, ἀτταγᾶς, φαλαρίδας.
1004. *Τί δρᾶτε; τοῦ κήρυκος οὐκ ἀκούετε;*
ἀναβράττετ', ἐξοπτᾶτε, τρέπετ', ἀφέλκετε
τὰ λαγῷα ταχέως, τοὺς στεφάνους ἀνείρετε.
1126. *Ταῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;*
ταῦτ' οὐ πλακοῦς δῆτ' ἐστὶν ἀνθρώποις γλυκύς;

Ἀριστοφάνους Ἱππῆς·

204. *. . . . αὐτὸ που λέγει*
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει.
311. *Ὅστις ἡμῶν τὰς Ἀθήνας ἐκκεκώφηκας βοῶν,*
κἀπὸ τῶν πετρῶν ἄνωθεν τοὺς φόρους θυννοσκοπῶν.
518. *Ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας,*
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας.
685. *. . . . καὶ δόλοισι ποικίλοις,*
ῥήμασίν θ' αἱμύλοις.

1012. *Καὶ τὸν περὶ ἐμοῦ 'κεῖνον ᾧπερ ἥδομαι,*
ὡς ἐν νεφέλαισιν ἀετὸς γενήσομαι.
1125. *Αὐτός τε γὰρ ἥδομαι*
βρύλλων τὸ καθ' ἡμέραν,
κλέπτοντά τε βούλομαι
τρέφειν ἕνα προστάτην.
1263. *Τί κάλλιον ἀρχομένοισιν*
ἢ καταπαυομένοισιν.
1370. *Οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται,*
ἀλλ' ὥσπερ ἦν τὸ πρῶτον ἐγγεγράψεται.

Ἀριστοφάνους Νεφέλαι.

64. *Ξάνθιππον ἢ Χαίριππον ἢ Καλλιπίδην,*
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην.
77. *Ἣν ἢν ἀναπείσω τουτονί, σωθήσομαι.*
ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι.
126. *Ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι.*
ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς διδάξομαι.
305. *Οὐρανίοις τε θεοῖς δωρήματα,*
ναοί θ' ὑψεφερεῖς καὶ ἀγάλματα.
494. *. . . . . τύπτομαι,*
κἄπειτ' ἐπισχὼν ὀλίγον ἐπιμαρτύρομαι,
εἶτ' αὖθις ἀκαρῆ διαλιπὼν δικάζομαι.
613. *Ὥστε καὶ λέγειν ἅπαντας ἐξιόντας ἑσπέρας,*
μὴ πρίῃ, παῖ, δᾷδ', ἐπειδὴ φῶς Σεληναίας καλόν.
ἄλλα τ' εὖ δρᾶν φησιν, ὑμᾶς δ' οὐκ ἄγειν τὰς ἡμέρας.
711. *Καὶ τὰς πλευρὰς δαρδάπτουσιν,*
καὶ τὴν ψυχὴν ἐκπίνουσιν,
καὶ τοὺς ὄρχεις ἐξέλκουσιν
καὶ τὸν πρωκτὸν διορύττουσιν.
883. *Τὸν κρείττον', ὅστις ἐστί, καὶ τὸν ἥττονα,*
ὃς τἄδικα λέγων ἀνατρέπει τὸν κρείττονα.
991. *Καὶ βαλανείων ἀπέχεσθαι*
καὶ τοῖς αἰσχροῖς αἰσχύνεσθαι,
κἂν σκώπτῃ τίς σε, φλέγεσθαι
1100. *. . . . . . . τουτονὶ*
γοῦν οἶδ' ἐγὼ κἀκεινονὶ
καὶ τὸν κομήτην τουτονί.
1428. *. . . . . καί τοι τί διαφέρουσιν*
ἡμῶν ἐκεῖνοι, πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσιν;
1504. *Οἴμοι τάλας δείλαιος ἀποπνιγήσομαι.*
ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι.

Ἀριστοφάνους Σφῆκες.

65. Ὑμῶν μὲν αὐτῶν οὐχὶ δεξιώτερον,
κωμῳδίας δὲ φορτικῆς σοφώτερον.
560. Εἶτ' εἰσελθὼν ἀντιβοληθεὶς
καὶ τὴν ὀργὴν ἀπομορχθείς.
692. Καὶ κοινωνῶν τῶν ἀρχόντων
ἑτέρῳ τινι τῶν μεθ' ἑαυτοῦ
ἣν τίς τι διδῷ τῶν φευγόντων.
813. Κἂν γὰρ πυρέττω, τόν γε μισθὸν λήψομαι.
αὐτοῦ μένων γὰρ τὴν φακῆν ῥοφήσομαι.
999. Πῶς οὖν ἐμαυτῷ τοῦτ' ἐγὼ ξυνείσομαι,
φεύγοντ' ἀπολύσας ἄνδρα; τί ποτε πείσομαι;
1243. Μετὰ τοῦτον Αἰσχίνης ὁ Σέλλου δέξεται,
ἀνὴρ σοφὸς καὶ μουσικὸς· κᾆτ' ᾄσεται.
1453. Ἕτερα δὲ νῦν ἀντιμαθὼν
ἦ μέγα πείσεταί τι
ἐπὶ τὸ τρυφῶν καὶ μαλακόν.

Ἀριστοφάνους Εἰρήνη.

152. Ὡς εἰ μετέωρος οὗτος ὢν ὀσφρήσεται,
κάτω κάρα ῥίψας με βουκολήσεται.
341. Πλεῖν, μένειν, βινεῖν,
καθεύδειν,
ἐς πανηγύρεις θεωρεῖν,
ἑστιᾶσθαι, κοτταβίζειν,
συβαρίζειν.
540. Διαλλαγεῖσαι καὶ γελῶσιν ἄσμεναι,
καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
ἁπαξάπασαι καὶ κυάθοις προσκείμεναι.
661. Εἶφ' ὅ τι νοεῖς αὐτοῖσι πρὸς ἔμ', ὦ φιλτάτη,
ἴθ' ὦ γυναικῶν μισοπορπακιστάτη.
922. Ἄγε δή, τί νῷν ἐντευθενὶ ποιητέον;
τί δ' ἄλλο γ' ἢ ταύτην χύτραις ἱδρυτέον;
1239. . . . . ἀπόφερ', οὐκ ὠνήσομαι.
τί δ' ἄρα τῇ σάλπιγγι τῇδε χρήσομαι.

Ἀριστοφάνους ὄρνιθες.

27. Οὐ δεινὸν οὖν δῆτ' ἐστὶν ἡμᾶς δεομένους
ἐς κόρακας ἐλθεῖν καὶ παρεσκευασμένους.
188. Εἶθ' ὥσπερ ἡμεῖς, ἢν ἰέναι βουλώμεθα
Πυθῶδε, Βοιωτοὺς δίοδον αἰτούμεθα.

299. Ὅστις ἐστί; κειρύλος.
κειρύλος γάρ ἐστιν ὄρνις;
οὐ γάρ ἐστι Σποργίλος;
555. Κἂν μὲν μὴ φῇ μηδ' ἐθελήσῃ
μηδ' εὐθὺς γνωσιμαχήσῃ
681. Ἡδὺν φθόγγον ἐμοὶ φέρουσ'.
ἀλλ', ὦ καλλιβόαν κρέκουσ'.
805. Εἰς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ.
σὺ δὲ κοψίχῳ γε σκάφιον ἀποτετιλμένῳ.
1112. Ὀξὺν ἱερακίσκον ἐς τὰς χεῖρας ὑμῖν δώσομεν.
ἢν δέ που δειπνῆτε, πρηγορῶνας ὑμῖν πέμψομεν.
1271. Ὦ Πεισθέταιρ', ὦ μακάρι', ὦ σοφώτατε,
ὦ κλεινόταιτ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε.
1523. Εἰ μὴ παρέξει ταμπόρι' ἀνεῳγμένα,
ἵν' εἰσάγοιτο σπλάγχνα κατατετμημένα.

Ἀριστοφάνους Λυσιστράτη.

24. . . . . κἄπειτα πῶς οὐχ' ἥκομεν;
οὐχ' οὗτος ὁ τρόπος· ταχὺ γὰρ ἂν ξυνήλθομεν.
ἀλλ' ἔστιν ὑπ' ἐμοῦ πρᾶγμ' ἀνεζητημένον,
πολλαῖσί τ' ἀγρυπνίαισιν ἐῤῥιπτασμένον.
125. Τί μοι μεταστρέφεσθε; ποῖ βαδίζετε;
αὗται; τί μοι μυᾶτε κἀνανεύετε;
293. Ἀλλ' ὅμως βαδιστέον,
καὶ τὸ πῦρ φυσητέον.
